ὅ τι σοι φαίνεται τοῦτο. II. 372. B: ἡδέως ξυνόντες ἀλλήλοις. Tim. 19. C. Legg. V. 734. B. Lys. 204. A. Euthyd. 304. C. al. — Etiam in leni ponitur irrisione (*lepide*). Parm. 131. B: ἡδέως γε ... ἓν ταὐτὸν ἅμα πολλαχοῦ ποιεῖς. Hipp. mai. 300. E: ἡδέως γε, ὦ Ἱππία. — Comp. ἥδιον, *iucundius*; *libentius*. Prot. 335. D: ὡς ἐγὼ οὐδ' ἂν ἑνὸς ἥδιον ἀκούσαιμι ἢ σοῦ cet. Gorg. 448. D. Soph. 217. C. Pol. IX. 581. E: πρὸς αὐτὸ τὸ ἥδιον (ζῆν). X. 614. A: ὡς οὐ πολλὰ ἀλλ' ἥδιον ἀκούοντι. Euthyd. 279. E. al. — Pol. IV. 426. C: ὃς δ' ἂν σφᾶς οὕτω πολιτευομένους ἥδιστα θεραπεύῃ. IX. 587. B: ὁ ... βασιλεὺς ἥδιστα (βιώσεται). Crit. 43. B: ἵνα ὡς ἥδιστα διάγῃς. Etiam *perlibenter*. Phaed. 99. C: ἐγὼ ... τῆς τοιαύτης αἰτίας ... μαθητὴς ὁτουοῦν ἥδιστ' ἂν γενοίμην. Theaet. 183. D: ἥδιστα μέντ' ἂν ἤκουσα περὶ ὧν λέγω. Legg. II. 658. D. X. 887. D: ὄψεις ... ἃς ἥδιστα ὅ γε νέος ὁρᾷ τε καὶ ἀκούει πραττομένας. Hipp. mai. 285. D. Lach. 189. A. Euthyd. 295. A. Alc. II. 150. D. Clit. 406.

ἤδη, *iam*. Prot. 312. A: ἤδη γὰρ ὑπέφαινέ τι ἡμέρας. 316. C: τοῦτ' οὖν ἤδη σὺ σκόπει. 361. E: νῦν δ' ὥρα ἤδη καὶ ἐπ' ἄλλο τι τρέπεσθαι. Gorg. 486. E: εὖ οἶδ' ὅτι ... ταῦτ' ἤδη ἐστὶν αὐτὰ τἀληθῆ. Phaed. 61. E: ἤδη γὰρ ἔγωγε ... καὶ Φιλολάου ἤκουσα cet. 118. A. Theaet. 201. E. Conv. 204. B: δῆλον δὴ ... τοῦτό γε ἤδη καὶ παιδὶ ὅτι cet. 206. D: τῷ κυοῦντί τε καὶ ἤδη σπαργῶντι. Pol. I. 330. E. V. 468. C: εἴρηται ἤδη. VI. 493. D: ἤδη πώποτέ του ἤκουσας —; VII. 516. B. 532. A: ἣν ἐλέγομεν πρὸς αὐτὰ ἤδη τὰ ζῶα ἐπιχειρεῖν ἀποβλέπειν cet. Euthyd. 300. E. al. — Cum v. νῦν: Phil. 30. E. Pol. X. 612. B. Legg. VIII. 834. D. (sq. πάντως ἤδη). — Cum v. πᾶς: Soph. 229. D. Pol. II. 363. D: ποιοῦσι τὸν ἅπαντα χρόνον ἤδη διάγειν μεθύοντας. III. 398. C: οὐ πᾶς ἤδη ἂν εὕροι cet. Tim. 79. B. — Cum v. τότε: Prot. 351. E. Theaet. 165. E. Pol. III. 417. B. Legg. VI. 778. B. al. — Cum v. πολλάκις: Gorg. 456. B. Phil. 16. D. Pol. VI. 507. A: ἄλλοτε ἤδη πολλάκις εἰρημένα. — Est fere i. q. *nunc*. Crat. 434. B: ἤδη τοίνυν καὶ σὺ κοινώνει τοῦ λόγου cet. Pol. I. 331. D: δεῖ γάρ με ἤδη τῶν ἱερῶν ἐπιμεληθῆναι. VII. 534. E: ἔχειν ἤδη τέλος τὰ τῶν μαθημάτων. Tim. 69. A. Legg. IX. 876. E: ἐπανελθόντας ἤδη πάλιν ἐπὶ τοὺς νόμους. — Verti potest *tum*, *dein*. Phaed. 90. D: καὶ ἤδη τὸν λοιπὸν βίον μισῶν ... τοὺς λόγους διατελοῖ. Gorg. 485. D: ὅταν ... πρεσβύτερον ἴδω ἔτι φιλοσοφοῦντα ... πληγῶν μοι δοκεῖ ἤδη δεῖσθαι ... οὗτος ὁ ἀνήρ. Crat. 436. C: εἰ γὰρ τὸ πρῶτον σφαλεὶς ὁ τιθέμενος τἆλλα ἤδη πρὸς τοῦτ' ἐβιάζετο cet. Pol. I. 348. B. V. 458. A. Etiam *tum*, *demum*. Phaedr. 264. A: ἄρχεται ἀφ' ὧν πεπαυμένος ἂν ἤδη ὁ ἐραστὴς λέγοι πρὸς τὰ παιδικά.

ἥδομαι, *delector*, *voluptatem percipio*, *laetor*. Phil. 37. A: ᾧ τὸ ἡδόμενον ἥδεται. B: ἐάν τε ὀρθῶς ἐάν τε μὴ ὀρθῶς

ἥδηται. Legg. II. 670. D: (ἵνα) αὐτοί τε ἡδονὰς τὸ παρὰ χρῆμα ἀσινεῖς ἥδωνται. Prot. 337. C: ἡμεῖς τ' αὖ οἱ ἀκούοντες μάλιστ' ἂν οὕτως εὐφραινοίμεθα, οὐχ ἡδοίμεθα. Prot. 337. C: ἥδεσθαι ... (ἔστι) ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πάσχοντα αὐτῷ τῷ σώματι. Phaedr. 239. A. Phil. 12. C. D. 32. E: μήτε τι λυπεῖσθαι μήθ' ἥδεσθαι. 37. A. 63. A: πάσας ἡδονὰς ἥδεσθαι διὰ βίου. Prot. 351. C: εἴπερ τοῖς καλοῖς γ' ... ζώῃ ἡδόμενος. Phil. 21. A: ζῆν ... ἡδόμενος ἡδονὰς τὰς μεγίστας. 48. B: ἐπὶ κακοῖς τοῖς τῶν πέλας ἡδόμενος. Phil. 37. A: τὸ ἡδόμενον. B. Legg. III. 689. A: τὸ ... λυπούμενον καὶ ἡδόμενον αὐτῆς (τῆς ψυχῆς). Phaed. 78. B: εἴ σοι ἡδομένῳ ἐστίν. Phil. 65. E: ἡδονὰς ... τὰς μεγίστας ὅταν ἴδωμεν ἡδόμενον ὁντινοῦν. Ep. III. 315. B: ἡδόμενον βίοτον ... τυράννου (inscript.). Lach. 187. C: ἐμοὶ ... καὶ Μελησίᾳ τῷδε δῆλον ὅτι ἡδομένοις ἂν εἴη εἰ cet. Prot. 315. B: τοῦτον τὸν χορὸν μάλιστα ἔγωγε ἰδὼν ἥσθην. Gorg. 458. D: οὐκ οἶδ' εἰ πώποτε ἥσθην οὕτως, ὥσπερ νυνί. Phaed. 97. C: ταύτῃ ἤδη τῇ αἰτίᾳ ἥσθην. Pol. III. 367. E. Phaedr. 228. B. ἰδὼν ἥσθη. Tim. 21. C. Riv. 134. B. Euthyd. 300. D. 303. B: ἐνταῦθα δὲ ὀλίγου καὶ οἱ κίονες ... ἥσθησαν. Phaedr. 258. E: ἢ μηδὲ ἡσθῆναι. Phaed. 62. E: ἡσθῆναί τέ μοι ἔδοξε τῇ τοῦ Κέβητος πραγματείᾳ. Legg. VII. 811. D. Phil. 15. D: ἡσθεὶς ὥς τινα σοφίας εὑρηκὼς θησαυρόν. Lys. 213. D: ἐκείνου ἡσθεὶς τῇ φιλοσοφίᾳ. Euthyd. 282. C. Phaedr. 276. D: ἡσθήσεται ... αὐτοὺς θεωρῶν φυομένους ἁπαλούς. 233. E: μάλιστα ἡσθήσονται.

ἡδονή, ἡ, *laetitia*, *iucunditas*; *voluptas*; etiam *amoenitas* et *oblectamentum*. Gorg. 494. A: τῷ ... πληρωσαμένῳ ἐκείνῳ οὐκέτ' ἔστιν ἡδονὴ οὐδεμία. Crat. 419. B: ἡ ... ἡδονή, ἡ πρὸς τὴν ὄνησιν ἔοικε τείνουσα πρᾶξις τοῦτο ἔχειν τὸ ὄνομα. Ib. ἡδονὴ ἀντὶ ἡονῆς καλεῖται. Phil. 32. A: ἡ ... τοῦ ὑγροῦ πάλιν τὸ ξηρανθὲν πληροῦσα δύναμις ἡδονή. Pol. IV. 430. A: ἥ τε ἡδονή, παντὸς χαλαστραίου δεινοτέρα οὖσα τοῦτο δρᾶν καὶ κονίας, λύπη τε καὶ φόβος καὶ ἐπιθυμία. IX. 583. B: ὅτι οὐδὲ παναληθής ἐστιν ἡ τῶν ἄλλων ἡδονὴ πλὴν τῆς τοῦ φρονίμου. Prot. 351. D: τὰ ἡδονῆς μετέχοντα. Phaedr. 233: καὶ τὰ μὴ ἡδονῆς ἄξια. Gorg. 462. C: χάριτός τινος καὶ ἡδονῆς ἀπεργασίας (ἐμπειρία). Theaet. 178. D: περὶ τῆς ἐσομένης ἡδονῆς. Soph. 222. E: διὰ χάριτος καὶ παντάπασι δι' ἡδονῆς τὸ δέλεαρ πεποιημένον. 225. D: οὐ μεθ' ἡδονῆς ἀκουόμενον. Phil. 15. E: ὑφ' ἡδονῆς ἐνθουσιᾷ. 19. B: εἴδη ... ἡδονῆς ... εἴτ' ἔστιν εἴτε μή. 53. C: ὡς ἀεὶ γένεσίς ἐστιν, οὐσία δὲ οὐκ ἔστι τὸ παράπαν ἡδονῆς. Pol. IX. 582. B: τῆς ἀπὸ τοῦ εἰδέναι ἡδονῆς. Tim. 26. B: ἣν μετὰ πολλῆς ἡδονῆς καὶ παιδικῆς τότε ἀκουόμενα. 81. D. Legg. II. 653. E. III. 684. C. al. Phaedr. 238. E: τῷ ... δουλεύοντι ... ἡδονῇ. 250. E: ἡδονῇ παραδούς. Pol. III. 402. E: σωφροσύνῃ καὶ ἡδονῇ ὑπερβαλλούσῃ ἔστι τις

κοινωνία; Crit. 117. A: *ἡδονῇ τε καὶ ἀρετῇ τῶν ὑδάτων ... θαυμαστοῦ πεφυκότος.* Epin. 977. B: *εἴτε κόσμον εἴτε Ὄλυμπον ... ἐν ἡδονῇ τῳ λέγειν.* Prot. 351. D: *(τὰ) ποιοῦντα ἡδονήν.* E: *τὴν ἡδονὴν αὐτὴν ἐρωτῶν εἰ οὐκ ἀγαθόν ἐστιν.* 352. B: *τοτὲ δὲ ἡδονήν, τοτὲ δὲ λύπην.* Phaedr. 232. B: *ἢ δι' ἄλλην τινὰ ἡδονήν.* 251. E: *ἡδονὴν ... ταύτην γλυκυτάτην ἐν τῷ παρόντι καρποῦται.* Gorg. 495. C: *ἡδονὴν καὶ ἐπιστήμην ταὐτόν, ἢ ἕτερον (ἔλεγες);* Soph. 225. D: *δι' ἡδονὴν τῆς περὶ ταῦτα διατριβῆς.* Phil. 11. A: *ἀγαθὸν εἶναι ... τὸ χαίρειν πᾶσι ζώοις καὶ τὴν ἡδονὴν καὶ τέρψιν.* 31. D: *πάλιν ... ἁρμοττομένης (τῆς ἁρμονίας) τε καὶ εἰς τὴν αὑτῆς φύσιν ἀπιούσης ἡδονὴν γίγνεσθαι.* 50. A: *ἡδονὴν ... ἐπὶ τοῖς τῶν φίλων κακοῖς.* Conv. 176. E: *οὕτω πίνοντας πρὸς ἡδονήν.* (Pol. IV. 420. E. Ep. VII. 337. A.) Pol. III. 390. A: *εἰ δέ τινα ἄλλην ἡδονὴν παρέχεται* cet. VI. 485. D: *περὶ τὴν τῆς ψυχῆς ... ἡδονὴν αὐτῆς καθ' αὑτὴν εἶεν ἄν.* Tim. 69. D: *ἡδονήν, μέγιστον κακῶν δέλεαρ.* Crit. 116. B: *ἡδονὴν αὐτοῖς ξύμφυτον ἀπονέμοντες.* Legg. VII. 813. A: *ἡδονὴν εὐτυχῆ ταῖς πόλεσι παραδιδόντα.* IX. 863. B: *καὶ μὴν ἡδονήν γε οὐ ταὐτὸν τῷ θυμῷ προσαγορεύομεν.* Gorg. 499. C: *ὅτι ἡδοναί τινές εἰσιν αἱ μὲν ἀγαθαί, αἱ δὲ κακαί.* Pol. I. 328. D: *αἱ κατὰ τὸ σῶμα ἡδοναί.* Ib. *αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί.* IX. 580. D: *τριῶν ὄντων τριτταὶ καὶ ἡδοναί μοι φαίνονται, ἑνὸς ἑκάστου μία ἰδία.* Hipp. mai. 300. B. Locr. 100. C: *ὁκόσαι ... ἀποκαθίσταντι ἐς αὐτάν (τὰν φύσιν), ἁδοναὶ ὀνυμαίνονται.* Phaedr. 237. D: *ἡ μὲν ἔμφυτος οὖσα ἐπιθυμία ἡδονῶν.* Gorg. 495. A: *τῶν ἡδονῶν ὁποῖαι ἀγαθαὶ καὶ κακαί.* Phaed. 69. A: *κρατουμένοις ὑφ' ἡδονῶν κρατεῖν ἄλλων ἡδονῶν.* Pol. II. 364. C: *μεθ' ἡδονῶν τε καὶ ἑορτῶν.* E: *διὰ θυσιῶν καὶ παιδιᾶς ἡδονῶν* (v. Annott. in Gorg. p. 256.). III. 389. E: *τῶν περὶ πότους καὶ ἀφροδίσια καὶ περὶ ἐδωδὰς ἡδονῶν.* VIII. 558. D: *βίᾳ δὴ καὶ οὗτος ἄρχων τῶν ἐν αὑτῷ ἡδονῶν, ὅσαι ἀναλωτικαὶ* cet. Soph. 228. B: *θυμὸν (λόγον?) ἡδοναῖς ... καὶ πάντ' ἀλλήλοις ταῦτα διαφερόμενα.* Phil. 40. C: *ψευδέσιν ἄρα ἡδοναῖς τὰ πολλὰ οἱ πονηροὶ χαίρουσιν, οἱ δ' ἀγαθοὶ τῶν ἀνθρώπων ἀληθέσιν.* Pol. IV. 429. D: *ἔν τε λύπαις ὄντα ... καὶ ἐν ἡδοναῖς καὶ ἐν ἐπιθυμίαις* cet. VII. 519. B: *αἳ ... ἐδωδαῖς τε καὶ τοιούτων ἡδοναῖς τε καὶ λιχνείαις προσφυεῖς γιγνόμεναι* cet. Phaed. 69. A: *ἡδονὰς πρὸς ἡδονὰς καὶ λύπας πρὸς λύπας ... καταλλάττεσθαι.* Polit. 288. C: *πρὸς τὰς ἡδονὰς μόνον ἡμῶν ἀπειργασμένα.* Phil. 21. A: *ἡδόμενος ἡδονὰς τὰς μέγιστας.* 36. C: *πότερον ἀληθεῖς ταύτας τὰς λύπας τε καὶ ἡδονὰς ἢ ψευδεῖς εἶναι λέξομεν;* 43. C: *ὡς αἱ ... μεγάλαι μεταβολαὶ λύπας τε καὶ ἡδονὰς ποιοῦσιν ἡμῖν.* Pol. I. 329. A: *τὰς ἐν τῇ νεότητι ἡδονὰς ποθοῦντες.* VIII. 548. B: *λάθρα τὰς ἡδονὰς καρπούμενοι.* Hipp. mai. 298. E: *οὐδὲ ἡδέα οὐδὲ ἡδονάς.*

ἡδυντικός, ή, όν, condiendi vim habens. Soph. 223. A: *ἡδυντικήν τινα τέχνην.*

ἡδύνω, condio. Theaet. 175. E: *μηδὲ ὄψον ἡδῦναι.* Pol. X. 607. A: *εἰ ... τὴν ἡδυσμένην μοῦσαν παραδέξει ἐν μέλεσιν ἢ ἔπεσιν* cet.

ἡδύς, εῖα, ύ, suavis, iucundus; amoenus, gratus; commodus. Phil. 27. E: *ὁ σὸς (βίος) ἡδὺς καὶ ἄμικτος ὤν.* Men. 81. D: *ἡδὺς ἀκοῦσαι (λόγος).* Pol. I. 331. A: *τῷ ... μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι.* VIII. 558. A: *ἆρ' οὐ θεσπεσία καὶ ἡδεῖα ἡ τοιαύτη διαγωγὴ ἐν τῷ παραυτίκα;* C: *ἡδεῖα πολιτεία.* X. 607. D. Legg. II. 668. B. Prot. 338. A: *εἰ μὴ ἡδὺ Πρωταγόρᾳ.* 351. E: *(ἐὰν) τὸ αὐτὸ φαίνηται ἡδύ τε καὶ ἀγαθόν.* 356. A: *τὸ παρὰ χρῆμα ἡδύ.* Phaed. 60. C: *τὸ ἡδύ.* Tim. 81. E: *πᾶν γὰρ τὸ μὲν παρὰ φύσιν ἀλγεινόν, τὸ δ' ᾗ πέφυκε γιγνόμενον ἡδύ.* Legg. I. 643. A: *εἴπερ σοί γε ἡδύ.* Hipp. mai. 296. A: *τὸ δι' ἀκοῆς τε καὶ ὄψεως ἡδύ.* Prot. 356. A: *τοῦ εἰς τὸν ὕστερον χρόνον καὶ ἡδέος καὶ λυπηροῦ.* Hipp. mai. 298. D: *τί ... ἀφωρίσατε τοῦ ἡδέος τὸ ταύτῃ ἡδύ* cet. 299. B. Prot. 355. B: *ἡδεῖ τε καὶ ἀνιαρῷ καὶ ἀγαθῷ καὶ κακῷ.* Pol. III. 398. A: *ὡς ἱερὸν καὶ θαυμαστὸν καὶ ἡδύν.* VIII. 561. D: *ἡδὺν ... καὶ μακάριον καλῶν τὸν βίον τοῦτον.* Prot. 337. C: *ἐσθίοντά τι ἢ ἄλλο ἡδὺ πάσχοντα.* Gorg. 495. A: *πότερον φὴς εἶναι τὸ αὐτὸ ἡδὺ καὶ ἀγαθόν.* Tim. 64. D: *τὸ δ' εἰς φύσιν ἀπιὸν πάλιν ἀθρόον ἡδύ.* Hipp. mai. 298. D. 299. A: *ὄζειν ἡδὺ μὴ ἡδύ, ἀλλὰ καλόν (εἶναι).* Pol. V. 452. B: *ὅταν ῥυσοὶ καὶ μὴ ἡδεῖς τὴν ὄψιν ὅμως φιλογυμναστῶσι.* Prot. 351. C: *καθ' ὃ ἡδέα ἐστί.* D. Gorg. 497. D. Legg. II. 663. A. Prot. 351. D: *ὅτι ἔστι μὲν ἃ τῶν ἡδέων οὐκ ἔστιν ἀγαθά* cet. Gorg. 495. A: *ἢ εἶναί τι τῶν ἡδέων, ὃ οὐκ ἔστιν ἀγαθόν.* Pol. X. 606. D: *περὶ πάντων τῶν ἐπιθυμητικῶν τε καὶ λυπηρῶν καὶ ἡδέων ἐν τῇ ψυχῇ.* Tim. 64. A: *τὸ τῶν ἡδέων καὶ τῶν ἀλγεινῶν αἴτιον.* Ax. 365. D: *(ἐπὶ) στερήσει τῶν ἡδέων.* Eryx. 387. B: *ἀπέχεσθαι σίτων καὶ ποτῶν καὶ τῶν ἄλλων τῶν ἡδέων δοκούντων εἶναι.* Gorg. 497. D: *ὅτι οὐ τὰ αὐτὰ γίγνεται ... τἀγαθὰ τοῖς ἡδέσιν οὐδὲ τὰ κακὰ τοῖς ἀνιαροῖς.* Legg. II. 659. E: *ἐν ἡδέσι τισὶ σιτίοις καὶ πώμασι.* Prot. 351. C: *ἡδέα ἄττα καλεῖς κακὰ καὶ ἀνιαρὰ ἀγαθά;* D: *ἡδέα δὲ καλεῖς ... οὐ τὰ ἡδονῆς μετέχοντα ἢ ποιοῦντα ἡδονήν;* Phil. 13. A. Pol. III. 387. B: *οὐχ ὡς οὐ ποιητικὰ καὶ ἡδέα τοῖς πολλοῖς ἀκούειν.* Hipp. mai. 298. B. al. Legg. V. 734. A: *ὅθεν ὁ μὲν ἡδίων ἡμῖν τῶν βίων, ὁ δὲ λυπηρότερος* cet. VIII. 829. D: *μηδ' ἂν ἡδίων ᾖ τῶν Θαμύρου τε καὶ Ὀρφείων ὕμνων.* Prot. 347. B: *ὁπότερον αὐτῷ ἥδιον.* Gorg. 504. C: *εἴ σοι ἥδιόν ἐστιν, ἐγὼ ἐρῶ.* 514. A. Pol. IX. 583. D: *ὡς οὐδὲν ... ἐστὶν ἥδιον τοῦ ὑγιαίνειν.* Ib. *ὡς οὐδὲν ἥδιον τοῦ παύσασθαι ὀδυνώμενον.* Legg. V. 733. A: *παρὰ βίον ἡδίω καὶ λυπηρότερον.*

734. C. D. Ib. ἡδίους ... τοὺς βίους. Pol. IX. 581. C: τίς τούτων τῶν βίων ἥδιστος. Legg. II. 662. D. Pol. IX. 583. A: τριῶν ... οὐσῶν τῶν ἡδονῶν ἡ τούτου τοῦ μέρους τῆς ψυχῆς ᾧ μανθάνομεν ἡδίστη ἂν εἴη. Prot. 317. C: ὥστε πολύ μοι ἥδιστόν ἐστιν cet. Pol. IX. 583. D: ἥδιστον ὄν. Hipp. mai. 299. A. Gorg. 464. D: τῷ ... ἀεὶ ἡδίστῳ θηρεύεται τὴν ἄνοιαν. Phaedr. 238. E: τὸν ἐρώμενον ὡς ἥδιστον ἑαυτῷ παρασκευάζειν. Legg. II. 662. D: τοὺς τὸν ἥδιστον διαβιοῦντας βίον. E. Soph. 230. C: πασῶν ἀπαλλαγῶν ἀκούειν ... ἡδίστην. Pol. IX. 583. D: τὸ μὴ λυπεῖσθαι καὶ τὴν ἡσυχίαν τοῦ τοιούτου ἐγκωμιάζουσιν ὡς ἥδιστον. Legg. VI. 783. A: τρέποντα εἰς τὸ βέλτιστον παρὰ τὸ λεγόμενον ἥδιστον (παρὰ τοῦ λεγομένου ἡδίστου?). Phaedr. 240. B: οἷς ... ἡδίστοισιν εἶναι ὑπάρχει. Apol. 38. D: οἷ' ἂν ὑμῖν ... ἥδιστ' ἦν ἀκούειν. — In irrisione est i. q. *lepidus*. Atque leni hac voce Attici utuntur in homine significando *simplice* vel *stolido*. Gorg. 491. E: ὡς ἡδὺς εἶ! τοὺς ἠλιθίους λέγεις σώφρονας. Pol. I. 337. D: ἡδὺς γὰρ εἶ. VII. 527. D: ἡδὺς εἶ ... ὅτι ἔοικας cet. Euthyd. 300. A: οὕτως ἡδὺς εἶ. Theaet. 209. E: ἡδὺ χρῆμ' ἂν εἴη τοῦ καλλίστου τῶν περὶ ἐπιστήμης λόγου. Pol. I. 348. C: εἰκός γ', ἔφη, ὦ ἥδιστε.

ἥδυσμα, τό, *condimentum*. Pol. III. 404. C: οὐδὲ μὴν ἡδυσμάτων ... Ὅμηρος πώποτε ἐμνήσθη. I. 332. D: ἡ τοῖς ὄψοις τὰ ἡδύσματα (ἀποδιδοῦσα τέχνη).

ἥδω, *delecto*; unde τὰ ἥδοντα, *voluptates*. Ax. 366. A: ᾧ τὰ ... ἥδοντα ἀμυχιαῖα. Ib. τῶν ἡδόντων ἄμοιρα.

ἦθος, τό (cogn. cum ἔθος et ἕδος, vern. *Sitz* et *Sitte*), *sedes*, *domicilium* vel *status solitus*. Tim. 42. E: ἔμενεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει. Legg. IX. 865. E: ὁρῶν ... τὸν ἑαυτοῦ φονέα ἐν τοῖς ἤθεσι τοῖς τῆς ἑαυτοῦ συνηθείας ἀναστρεφόμενον. * *institutum*, *consuetudo*, *mos* vel *mores* (vern. *Sitte*, *Art*). Pol. II. 375. E: ὅτι τοῦτο φύσει αὐτῶν (τῶν κυνῶν) τὸ ἦθος cet. VIII. 549. A: ἔστι γὰρ ... τοῦτο τὸ ἦθος ἐκείνης τῆς πολιτείας. Legg. III. 679. B: σχεδὸν ἐν ταύτῃ (τῇ ξυνοικίᾳ) γενναιότατα ἤθη γίγνοιτ' ἄν. XI. 929. C: τὰ ... τῶν νέων ἤθη πολλὰς μεταβολὰς ἐν τῷ βίῳ μεταβάλλειν ἑκάστοτε πέφυκεν. XII. 963. E. Gorg. 484. D: καὶ συλλήβδην τῶν ἠθῶν παντάπασιν ἄπειροι γίγνονται. Pol. VII. 541. A: ὅσοι ἂν ... τοὺς ... παῖδας αὐτῶν παραλαβόντες ἐκτὸς τῶν νῦν ἠθῶν ... θρέψωνται ἐν τοῖς σφετέροις τρόποις καὶ νόμοις. VIII. 544. D: ἐκ τῶν ἠθῶν τῶν ἐν ταῖς πόλεσιν. Legg. II. 670. E: ἠθῶν χρηστῶν ἀσπασμοῦ προσήκοντος. XII. 967. E: πρὸς τὰ τῶν ἠθῶν ἐπιτηδεύματα καὶ νόμιμα. Pol. VIII. 558. D: υἱὸς ὑπὸ τῷ πατρὶ τεθραμμένος ἐν τοῖς ἐκείνου ἤθεσι. Legg. I. 625. A: ἐπειδὴ ... ἐν τοιούτοις ἤθεσι τέθραφθε νομικοῖς. 636. D: ἔν τε πόλεσι καὶ ἐν ἰδίοις ἤθεσι. II. 656. B: πονηροῖς ἤθεσι ξυνὼν κακῶν ἀνθρώπων. III. 695. E. IV. 708. C. VI. 751. C: τε-

θράφθαι ... ἐν ἤθεσι νόμων. 773. B: *ὅθεν ἀνώμαλος ἡ πόλις ὅλη γίγνεται χρήμασί τε καὶ τρόπων ἤθεσιν.* XI. 922. D: *ἐναντία ... τοῖς τε νόμοις καὶ τοῖς τῶν ζώντων ἤθεσι* cet. 928. E. XII. 951. B. al. Pol. VIII. 548. D: *πάσας μὲν πολιτείας, πάντα δὲ ἤθη ... διελθεῖν.* Legg. II. 669. B: *ἤθη κακὰ φιλοφρονούμενος.* IV. 704. D: *εἰ μὴ πολλά τε ἔμελλεν ἤθη καὶ ποικίλα καὶ φαῦλα ἕξειν τοιαύτη (πόλις).* 711. B: *τῷ τυράννῳ μεταβαλεῖν βουληθέντι πόλεως ἤθη.* VI. 777. E: *ὁ περὶ τὰ τῶν δούλων ... ἤθη καὶ πράξεις γιγνόμενος.* IX. 855. A: *ἐὰν φύγωσι τὰ πατρῷα ἤθη.* **indoles, ingenium, animus* (vern. *Gesinnung*, *Gemüth*, *Charakter*). Pol. VI. 496. B: *γενναῖον καὶ εὖ τεθραμμένον ἦθος.* X. 604. E: *τὸ ... φρόνιμόν τε καὶ ἡσύχιον ἦθος.* Critia 121. A: (*ἐπεὶ*) *τὸ ... ἀνθρώπινον ἦθος ἐπεκράτει.* Legg. VII. 792. E: *κυριώτατον γὰρ οὖν ἐμφύεται πᾶσι τότε τὸ πᾶν ἦθος διὰ ἔθος.* VIII. 836. D: *τὸ τῆς ἀνδρείας ἦθος.* Polit. 308. E: *τοὺς ... μὴ δυναμένους κοινωνεῖν ἤθους ἀνδρείου καὶ σώφρονος.* Crat. 406. A: *πρὸς τὸ μὴ τραχὺ τοῦ ἤθους, ἀλλ' ἥμερόν τε καὶ λεῖον ... κεκλῆσθαι.* Conv. 183. E: *ὁ ... τοῦ ἤθους χρηστοῦ ὄντος ἐραστής.* Pol. III. 401. A: *σώφρονός τε καὶ ἀγαθοῦ ἤθους ... μιμήματα.* B. Legg. VI. 770. D: *τὴν ἀνθρώπῳ προσήκουσαν ἀρετὴν τῆς ψυχῆς ἔχων ἔκ τινος ἐπιτηδεύματος ἤ τινος ἤθους* cet. X. 908. E: *τοὺς ... ὑπ' ἀνοίας ἄνευ κακῆς ὀργῆς τε καὶ ἤθους γεγεννημένους.* Ep. VII. 330. A: *κατὰ τὴν τοῦ τρόπου τε καὶ ἤθους συνουσίαν.* Phaedr. 279. A: *ἤθει γεννικωτέρῳ κεκρᾶσθαι (δοκεῖ μοι).* Gorg. 513. C: *τῷ αὐτῶν ... ἤθει λεγομένων τῶν λόγων ἕκαστοι χαίρουσι* cet. Crat. 407. B: *τὴν ἐν τῷ ἤθει νόησιν.* Pol. III. 400. D: *οὐ τῷ τῆς ψυχῆς ἤθει ἕπεται;* Legg. VII. 793. E: *τριετεῖ ... καὶ ἔτι ἑξετεῖ ἤθει ψυχῆς παιδιῶν δέον ἂν εἴη.* VIII. 837. C: *τιμὴν οὐδεμίαν ἀπονέμων τῷ τῆς ψυχῆς ἤθει τοῦ ἐρωμένου.* IX. 862. B: *ἤθει καὶ δικαίῳ τρόπῳ χρώμενος.* Ep. IV. 320. D: *εἴ τις ἄλλος ... ἔδοξεν ἤθει καὶ πολιτείᾳ διενεγκεῖν.* Phaedr. 243. C: *πρᾶος τὸ ἦθος.* Polit. 310. C: *οἱ ... κόσμιοι τὸ σφέτερον αὐτῶν ἦθος ζητοῦσι.* 311. B: *τὸ τῶν ἀνδρείων καὶ σωφρόνων ἀνθρώπων ἦθος.* Conv. 195. E: *ἥτινι ἂν (ψυχῇ) σκληρὸν ἦθος ἐχούσῃ ἐντύχῃ.* Pol. II. 375. C: *πόθεν ἅμα πρᾶον καὶ μεγαλόθυμον ἦθος εὑρήσομεν;* III. 400. E: *τὴν ὡς ἀληθῶς εὖ τε καὶ καλῶς τὸ ἦθος κατεσκευασμένην διάνοιαν.* 409. D: *ἀγνοῶν ὑγιὲς ἦθος.* VI. 490. C: *ὑγιές τε καὶ δίκαιον ἦθος.* IX. 577. A: *εἰς ἀνδρὸς ἦθος ἐνδύς.* X. 605. A: *πρὸς τὸ ἀγανακτητικόν τε καὶ ποικίλον ἦθος.* Legg. I. 650. A: *ἦθος ψυχῆς θεάσασθαι.* V. 741. E: *ἦθος ἀποτρέπει ἐλεύθερον.* VI. 775. D: *ὥστ' ... οὐδὲν εὐθύπορον ἦθος οὐδὲ σῶμα ... γεννῴη ποτ' ἄν.* X. 901. A. 903. D. Lys. 222. A: *κατὰ τὴν ψυχὴν ἢ κατά τι τῆς ψυχῆς ἦθος ἢ τρόπους ἢ εἶδος.* Ep. VI. 322. D: *φίλων βεβαίων τε καὶ ἦθος ἐχόντων ὑγιές.*

X. 358. C: *τὸ σοφώτατον ἦθος τῶν εἰς φιλοσοφίαν παρεχόμενον.* Polit. 311. A: *τὰ ... σωφρόνων ἀρχόντων ἤθη σφόδρα μὲν εὐλαβῆ καὶ δίκαια* cet. Conv. 207. E: *καὶ κατὰ τὴν ψυχὴν οἱ τρόποι, τὰ ἤθη, δόξαι ... τούτων ἕκαστα οὐδέποτε τὰ αὐτὰ πάρεστιν ἑκάστῳ* cet. Pol. III. 402. D: *ὅτου ἂν ξυμπίπτῃ ἔν τε τῇ ψυχῇ καλὰ ἤθη ἐνόντα* cet. VI. 503. C: *τὰ βέβαια ... ταῦτα ἤθη καὶ οὐκ εὐμετάβολα.* Legg. X. 896. E: *τρόποι ... καὶ ἤθη καὶ βουλήσεις* cet. Ep. VII. 334. D: *σμικρὰ ... καὶ ἀνελεύθερα ψυχῶν ἤθη.* Pol. III. 409. A: *ἄπειρον αὐτὴν (τὴν ψυχὴν) καὶ ἀκέραιον δεῖ κακῶν ἠθῶν νέαν οὖσαν γεγονέναι.* Legg. II. 659. C: *ἀεὶ βελτίω τῶν αὐτῶν ἠθῶν ἀκούοντας.* IV. 705. B: *εἰς γενναίων καὶ δικαίων ἠθῶν κτῆσιν.* V. 735. C: *προςαπόλλυσι τὸ τῶν ὑγιῶν καὶ ἀκηράτων ἠθῶν τε καὶ σωμάτων γένος.* Phaedr. 277. A: *ἄλλοι (λόγοι) ἐν ἄλλοις ἤθεσι φυόμενοι.* Pol. VIII. 557. C: *πᾶσιν ἤθεσι πεποικιλμένη (πολιτεία).* Polit. 310. A: *τοῖς δ' εὐγενέσι γενομένοις τε ἐξ ἀρχῆς ἤθεσι θρεφθεῖσί τε κατὰ φύσιν* cet. Conv. 195. E: *ἐν γὰρ ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴκησιν ἵδρυται.* Legg. XI. 930. A: *μὴ πραέσιν ἤθεσι κεκραμένους.* XII. 968. D: *τρόπων ἤθεσι καὶ ἔθεσι.* Epin. 976. B: *δόξης ἤθεσι προςέχοντες τὸν νοῦν, ἀληθείας δὲ* cet. Phaed. 81. E: *εἰς τοιαῦτα ἤθη* (h. e. *ζῶα τοιούτοις ἤθεσι χρώμενα*), *ὁποῖ' ἄττ' ἂν καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ.* Polit. 310. E: *μηδέποτε ἐᾶν ἀφίστασθαι σώφρονα ἀπὸ τῶν ἀνδρείων ἤθη.* Pol. IV. 424. D: *ἠρέμα ὑποῤῥεῖ πρὸς τὰ ἤθη τε καὶ τὰ ἐπιτηδεύματα.* VI. 501. A: *λαβόντες ... ὥσπερ πίνακα πόλιν τε καὶ ἤθη ἀνθρώπων.* 501. C: *ἕως ἂν ὅτι μάλιστα ἀνθρώπεια ἤθη ... θεοφιλῆ ποιήσειαν.* VII. 535. B: *γενναίους τε καὶ βλοσυροὺς τὰ ἤθη.* Legg. IV. 705. A: *ἤθη παλίμβολα καὶ ἄπιστα ταῖς ψυχαῖς ἐντίκτουσα.* VI. 776. A: *κολλᾷ καὶ συνδεῖ πάντα ἤθη.* VII. 790. A: *γυναικεῖά τε καὶ δούλεια ἤθη τροφῶν.* 791. D. XI. 924. D: *βλέπων εἰς ἤθη τε καὶ τρόπους.* 930. A: *πραότερα τρόπων ἤθη.* Ep. VI. 323. A.

ἠθῶ, *colo*, pass. *stillo, mano.* Crat. 402. C: *τὸ ... διαττώμενον καὶ τὸ ἠθούμενον.* Tim. 59. B: *χρυσὸς ἠθημένος διὰ πέτρας ἐπάγη.* 60. B: *τὸ ... ἠθημένον δι' ὕδατος.* 59. E: *διὰ τῶν ἐκ γῆς φυτῶν ἠθημένα.*

ἠΐθεος, ὁ, *intactus connubio; caelebs.* Legg. IX. 877. E: *ἠΐθεον ... ἢ καὶ γεγαμηκότα ἄπαιδα τελευτῆσαι.* VIII. 840. D: *οἳ ... μέχρι μὲν παιδογονίας ἠΐθεοι καὶ ἀκήρατοι γάμων τε ἁγνοὶ ζῶσιν.* XII. 947. C: *πρώτους ... προϊέναι τοὺς ἠϊθέους.*

ἥκιστα, *minime.* Prot. 361. C: *καὶ οὕτως ἂν ἥκιστα εἴη διδακτόν.* Gorg. 469. C: *ἥκιστά γε* (resp.). Id. Conv. 202. D. Pol. V. 449. B. al. Conv. 213. C: *ὅπου ἐγὼ ᾤμην ἥκιστά σε ἔσεσθαι.* Pol. II. 380. E: *οὐκοῦν ... ἥκιστα ἀλλοιοῦταί τε καὶ κινεῖται;* IV. 421. A: *ἥκιστα κακούργους τῆς*

πόλεως. V. 471. D: τῷ ἥκιστα ἀπολείπειν ἀλλήλους. VI. 500. B: ἥκιστα φιλοσοφίᾳ πρέποντα ποιοῦντας. 504. C. Legg. XII. 965. E. al. Cum genit. Phaed. 67. E: τὸ τεθνάναι ἥκιστ' αὐτοῖς ἀνθρώπων φοβερόν. Pol. II. 380. D: πάντων ἥκιστα τῆς ἑαυτοῦ ἰδέας ἐκβαίνειν. Legg. VII. 792. D: ἁπάντων δὲ ἥκιστα εἰς δύναμιν τὸν ἀρτίως νεογενῆ. Crit. 52. A: οὐχ ἥκιστα Ἀθηναίων σέ, ἀλλ' ἐν τοῖς μάλιστα. Alc. I. 130. B: πάντων γε ἥκιστα. Cum negat. est *maxime* vel *potissimum*. Prot. 309. B: οὐχ ἥκιστα δὲ καὶ τῇ νῦν ἡμέρᾳ. 324. C: οἵ τε ἄλλοι ἄνθρωποι ... καὶ οὐχ ἥκιστα Ἀθηναῖοι. Phaed. 117. D: ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν. Theaet. 177. C: ἐν μὲν τοῖς ἄλλοις ἐθέλειν διισχυρίζεσθαι, καὶ οὐχ ἥκιστα περὶ τὰ δίκαια, ὡς cet. Conv. 178. A: πολλαχῇ μὲν καὶ ἄλλῃ, οὐχ ἥκιστα δὲ κατὰ τὴν γένεσιν. Pol. VII. 525. A: ἀλλὰ μέντοι ... τοῦτό γ' ἔχει οὐχ ἥκιστα ἡ περὶ αὐτὸ ὄψις. X. init. καὶ μὴν ... πολλὰ μὲν καὶ ἄλλα περὶ αὐτῆς ἐννοῶ ... οὐχ ἥκιστα δὲ ἐνθυμηθεὶς περὶ ποιήσεως λέγω. Legg. VII. 790. C. al.

ἥκω, *venio*, *accedo*, *progredior*; etiam *obtingo*. Praes. significatione praeteriti pos. est *veni*, *adveni*; etiam *adsum*. Prot. 310. E: ἀλλ' αὐτὰ ταῦτα καὶ νῦν ἥκω παρὰ σέ. Conv. 207. C: ἀλλὰ διὰ ταῦτά τοι ... παρὰ σὲ ἥκω. 212. E: νῦν δὲ ἥκω cet. Theag. 122. A: νῦν οὖν ἥκω ἐπ' αὐτὰ ταῦτα, ἵνα cet. Conv. 174. E: εἰς καλὸν ἥκεις. (Id. Hipp. mai. 286. D.). 213. C: καὶ νῦν τί ἥκεις; Charm. 166. B: ἐπ' αὐτὸ ἥκεις ἐρευνῶν, ὅτῳ διαφέρει ... ἡ σωφροσύνη. Prot. 310. B: Πρωταγόρας ... ἥκει (vern. *ist gekommen* vel *ist da*). C. Phaedr. 248. E: ὅθεν ἥκει ἡ ψυχὴ ἑκάστη. Pol. VII. 517. A. X. 615. D: οὐχ ἥκει. Legg. XII. 800. C: πλῆθος χορῶν ἥκει. De lege 318. D: πόθεν ἥκει; Euthyd. 275. B: σφὼ οὖν ἥκετον εἰς κάλλιστον. Prot. 314. D: οὔτε παρὰ Καλλίαν ἥκομεν οὔτε σοφισταί ἐσμεν. Pol. IX. 588. B: δι' ἃ δεῦρ' ἥκομεν. Prot. 316. B: τί οὖν δή ἐστιν ... οὗ ἕνεκα ἥκετε; Euthyd. 287. A: τίνος διδάσκαλοι ἥκετε; Conv. 174. E: ὅτι καὶ αὐτὸς μετὰ Σωκράτους ἥκοιμι. Pol. III. 371. C: ἂν ... μὴ εἰς τὸν αὐτὸν χρόνον ἥκῃ τοῖς δεομένοις τὰ παρ' αὐτοῦ ἀλλάξασθαι. VII. 540. B: ὅταν ... τὸ μέρος ἥκῃ. Phaed. 60. C: ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ. Conv. 174. D: ἄκλητος ἥκειν. 175. A. C. Pol. X. 614. E. Legg. VII. 800. D. Prot. 313. B: ὄρθριος ἥκων. Phaedr. 249. D: ἔστι ... δεῦρο ὁ πᾶς ἥκων λόγος cet. Theaet. 143. A. Pol. VII. 516. E: ἐξαίφνης ἥκων ἐκ τοῦ ἡλίου. 518. A: ἐκ φανοτέρου βίου ἥκουσα. Conv. 209. B: ἡκούσης τῆς ἡλικίας. Phaed. 67. E: ἥκοντος αὐτῷ τούτου. Critia 113. D: ἤδη ... εἰς ἀνδρὸς ὥραν ἡκούσης τῆς κόρης. Pol. X. 619. C: εἶναι ... αὐτὸν τῶν ἐκ τοῦ οὐρανοῦ ἡκόντων. 619. D: τοὺς ἐκ τοῦ οὐρανοῦ ἥκοντας. I. 327. C: καὶ ὀλίγῳ ὕστερον ὅ τε Πολέμαρ-

χος ἧκε cet. Phaedr. 232. D: ἥξεις αὐτοῖς εἰς διαφοράν. Crit. 53. B: πολέμιος ἥξεις ... τῇ τούτων πολιτείᾳ. Conv. 175. B: ἥξει δὲ αὐτίκα. Pol. VI. 504. D: τοῦ μεγίστου ... μαθήματος ἐπὶ τέλος οὔποτε ἥξει. X. 615. D: οὐδ' ἂν ἥξει (v. ἥξοι) δεῦρο. Tim. 47. B: οὔθ' ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν. Crit. 43. D: ὅτι ἥξει τήμερον. Pol. VIII. 567. D: αὐτόματοι ... πολλοὶ ἥξουσι πετόμενοι. Legg. I. 642. E: ὅτι δέκα ... ἐτῶν οὐχ ἥξουσιν. Pol. VII. 516. D: ἀπομαντευομένῳ τὸ μέλλον ἥξειν. Epin. 986. D: εἰς τόπους ἥξειν προςήκοντας ἀρετῇ. Crit. 43. D. al. Legg. VII. 798. C: ὡς ἥξοντος τοῦ ... μεγίστου κακοῦ. **processi.* Apol. 25. E: ἐγὼ ... εἰς τοσοῦτον ἀμαθίας ἥκω ὥστε cet. Euthyd. 294. E: οὕτω πόῤῥω σοφίας ἥκεις; Charm. 157. D: εἰς ὅσον ἡλικίας ἥκει. Gorg. 527. E: εἰς τοσοῦτον ἥκομεν ἀπαιδευσίας. — In eo positum qui iam adfuit vel ex itinere revertitur al., ἥκειν est *redire;* etiam in re ponitur quae aliquo redit vel pertinet. Gorg. 521. E: ὁ αὐτὸς δέ μοι ἥκει λόγος, ὅνπερ πρὸς Πῶλον ἔλεγον. Conv. 187. D: πάλιν ... ἥκει ὁ αὐτὸς λόγος ὅτι cet. Legg. III. 682. E. 688. B. Euth. 15. B. Hipp. mai. 303. E. Alc. I. 110. D: πάλιν εἰς τὸν αὐτὸν ἥκομεν λόγον. Phil. 43. C: πάλιν ὁ νῦν ῥηθεὶς βίος ἂν ἥκοι. Legg. XII. 952. B: εἴτε καὶ αὐτὸς νενοηκὼς ἄττα (v. ἄττα ἢ) ἥκοι. Crat. 440. E: εἰς αὖθις ... με ... διδάξεις, ἐπειδὰν ἥκῃς. Tim. 21. C: ὅσα εὗρεν ἐνθάδε ἥκων. Theag. 130. A. Eryx. 392. E: τὰ εἰς πλοῦτον ἥκοντα. Charm. init. ἧκον ... ἐκ Ποτιδαίας ἀπὸ τοῦ στρατοπέδου. Alc. I. 114. A: δῆλον ὡς εἰς ταὐτὸν ἥξεις. Lys. 219. C: ἢ (ἀρχὴ) ... ἥξει ἐπ' ἐκεῖνο ὅ cet. Euthyd. 302. B: ὑποπτεύσας ἥξειν τὸν λόγον, ᾗπερ ἐτελεύτησεν. — Cum participio alius verbi ita iungitur ut amplificationem quandam efficiat (v. c. cum part. verbi ducendi verti potest *adducere*, vern. *mitbringen* vel simpl. *bringen*, cum aliis verbb., praecipue pass., est i. q. simplex verbum participio expressum). Gorg. 491. C: νῦν δ' αὖ ἕτερόν τι ἥκεις ἔχων. 518. A: ἥκεις δὲ ὀλίγον ὕστερον λέγων. Phaed. 105. D: ἀεὶ ἥκει ἐπ' ἐκεῖνο φέρουσα ζωήν. Crat. 421. B: πάλιν ... αὖ λοιδορούμενον ἥκει τὸ ἰσχόμενον cet. Conv. 188. A: ἥκει φέροντα εὐετηρίαν τε καὶ ὑγιείαν ἀνθρώποις cet. Tim. 23. A: ὥσπερ νόσημα ἥκει φερόμενον αὐτοῖς ῥεῦμα οὐράνιον cet. De lucri cup. 232. A: οὐ τὸ κερδαλέον ἀγαθὸν αὖ πάλιν τρίτον ... ἥκει ἡμῖν ὁμολογούμενον; Gorg. 518. D: ὅταν δὴ αὐτοῖς ἥκῃ ἡ τότε πλησμονὴ νόσον φέρουσα. Pol. V. 456. B: ἥκομεν ... εἰς τὰ πρότερα περιφερόμενοι (*revolvimur*). Legg. II. 659. C: δοκεῖ ... ὁ λόγος εἰς ταὐτὸν περιφερόμενος ἥκειν. Menex. 240. A: εἶπεν ἥκειν ἄγοντα (*iussit captivos adducere*) Ἐρετριέας καὶ Ἀθηναίους. Phaed. 117. A: ἧκεν ἄγων τὸν μέλλοντα δάσειν τὸ φάρμακον (ubi est: *kam mit dem Manne — zurück*). Prot. 317. E: ἡκέτην ἄγοντε (*adduxerunt*) τὸν Πρόδικον.

ἠλακάτη, ἡ, scapus (vern. *Stange*). Pol. X. 616. C: οὗ (ἀτράκτου) τὴν μὲν ἠλακάτην τε καὶ τὸ ἄγκιστρον εἶναι ἐξ ἀδάμαντος. E.

ἤλεκτρον, τό, electrum. Locr. 101. E: ἃ ... σικύα καὶ τὸ ἤλεκτρον εἰκόνες ἀναπνοίας ἐντί. 102. A. Tim. 80. C: τὰ θαυμαζόμενα ἠλέκτρων περὶ τῆς ἕλξεως καὶ τῶν Ἡρακλείων λίθων.

ἠλίθιος, α, ον, stolidus, stultus. Epin. 976. D: ὁ ... λαβὼν οὔτε βάναυσος οὔτ' ἠλίθιος ἔσται. Eryx. 398. C. Charm. 162. A: ἤ τινος ἠλιθίου ἤκουσας τουτὶ λέγοντος —; Phaed. 95. E: εἰ ... μὴ ἀνόητόν τε καὶ ἠλίθιον θάῤῥος θαῤῥήσει. Alc. I. 118. E: τί δ', εἰ τὼ Περικλέους υἱέε ἠλιθίω ἐγενέσθην —; Prot. 346. C: τῶν γὰρ ἠλιθίων ἀπείρων (v. ἄπειρα) γένεθλα (Sim.). Gorg. 491. E: τοὺς ἠλιθίους λέγεις τοὺς σώφρονας. Pol. VIII. 550. A. Alc. II. 140. C: ἠλιθίους τε καὶ ἐμβροντήτους (καλοῦμεν). Hipp. mai. 304. C: ὡς ἠλίθιά τε καὶ σμικρὰ ... πραγματεύομαι.

ἠλιθιότης, ἡ, stultitia. Theaet. 176. E: ὑπὸ ἠλιθιότητός τε καὶ τῆς ἐσχάτης ἀνοίας λανθάνουσι cet. Hipp. min. 365. E. Demod. 385. C: ἠλιθιότητος σημεῖον οὐ σμικρὸν εἶναι. Pol. VIII. 560. D: τὴν ... αἰδῶ ἠλιθιότητα ὀνομάζοντες.

ἠλιθίως, stulte. Theaet. 180. D: ἠλιθίως οἰόμενοι τὰ μὲν ἑστάναι, τὰ δὲ κινεῖσθαι τῶν ὄντων.

ἡλικία, ἡ, aetas (sensu speciali *florens* vel *iuvenilis*, atque etiam *maturior* vel *provecta* s. *senectus*). Phaedr. 255. A: ἥ τε ἡλικία καὶ τὸ χρεὼν ἤγαγεν αὐτὸν εἰς τὸ προέσθαι αὐτὸν εἰς ὁμιλίαν. Crit. 43. C. Phaedr. 279. A: προϊούσης τῆς ἡλικίας. (Id. Soph. 234. D. Pol. VI. 498. B.) Gorg. 484. C: πόῤῥω τῆς ἡλικίας (*ultra iuventutem*). Polit. 273. E: τὸ τῆς ἡλικίας αὖ πάλιν ἵστατο. Conv. 209. B: ἡκούσης τῆς ἡλικίας. Pol. I. 328. E: ἐπειδὴ ἐνταῦθα ἤδη εἶ τῆς ἡλικίας ὃ cet. 329. B: ὅσοι ἐνταῦθα ἦλθον ἡλικίας. Tim. 18. D: ὅσοιπερ ἂν τῆς πρεπούσης ἐντὸς ἡλικίας γίγνωνται. Legg. VII. 802. C: μέχρι τῆς ἑστηκυίας τε καὶ ἔμφρονος ἡλικίας. VIII. 840. D. IX. 879. C: τὸν ... προέχοντα εἴκοσιν ἡλικίας ἔτεσιν. Charm. 157. D: εἰς ὅσον ἡλικίας ἥκει. 162. E. Lach. 180. D: ὑπὸ τῆς ἡλικίας (*propter senectutem*). Ax. 336. D. Gorg. 484. C: ἐν τῇ ἡλικίᾳ. Conv. 206. C: ἐπειδὰν ἔν τινι ἡλικίᾳ γένωνται. Pol. V. 461. B: ἐάν τις ... ἅπτηται τῶν ἐν ἡλικίᾳ γυναικῶν. 467. B: τοὺς ἐμπειρίᾳ τε καὶ ἡλικίᾳ ἱκανοὺς ἡγεμόνας τε καὶ παιδαγωγοὺς εἶναι. VI. 487. A. Legg. XI. 924. E: ἐὰν ἐν ἡλικίᾳ πρὸς ἀλλήλους ὦσιν. Apol. 17. C: οὐδὲ γὰρ ἂν δήπου πρέποι ... τῇδε τῇ ἡλικίᾳ. Alc. I. 121. E: οἱ ἄριστοι δόξαντες ἐν ἡλικίᾳ. Charm. 154. A: οὔπω ἐν ἡλικίᾳ ἦν. Lach. 200. C. Ep. III. 316. C: ἐν ἡλικίᾳ ... ὄντος μέσῃ τε καὶ καθεστηκυίᾳ. Prot. 317. C: καθ' ἡλικίαν. Theaet. 142. D: εἴπερ εἰς ἡλικίαν ἔλθοι. 146.

B: *καὶ οὐδ' αὖ συνεθίζεσθαι ἡλικίαν ἔχω.* 149. C: *ταῖς ... δι' ἡλικίαν ἀτόκοις.* Polit. 270. D: *ἣν ἡλικίαν ἕκαστον εἶχε τῶν ζώων, αὕτη* cet. Parm. 152. E: *τὴν αὐτὴν ἡλικίαν ἔχει.* Crat. 440. D: *ἔτι γὰρ νέος εἶ καὶ τὴν ἡλικίαν ἔχεις.* Pol. I. 329. A: *παραπλησίαν ἡλικίαν ἔχοντες.* V. 461. B: *ὅταν ... τοῦ γεννᾶν ἐκβῶσι τὴν ἡλικίαν.* Legg. IV. 715. D: *καθ' ἡλικίαν γὰρ ὀξὺ βλέπεις.* VII. 793. D: *εἰς ... τὴν τοῦ τρί' ἔτη γεγονότος ἡλικίαν* cet. Apol. 38. C: *ὁρᾶτε γὰρ δὴ τὴν ἡλικίαν ὅτι πόῤῥω ἤδη ἐστὶ τοῦ βίου.* Lach. 187. C: *ἐπειδὴ οἱ παῖδες ὑμῖν ... ἡλικίαν ἔχουσι παιδεύεσθαι.* Lys. 209. A: *οὐ γάρ πω ... ἡλικίαν ἔχω.* Ib. *ἕως ἂν ἡλικίαν ἔχῃς.* Euthyd. 306. D. Men. 89. B: *ἐπειδὴ ἀφίκοιντο εἰς τὴν ἡλικίαν.* Eryx. 396. B: *ἐπειδὰν εἰς τὴν ἡλικίαν τάχιστα ἀφίκωνται τοῦ ἤδη φρονεῖν.* Def. 413. C: *φιλία ... ἐν τοῖς καθ' ἡλικίαν γεγενημένοις.* Men. 72. A: *καθ' ἑκάστην ... τῶν πράξεων καὶ τῶν ἡλικιῶν.* Pol. III. 412. E: *δοκεῖ δή μοι τηρητέον αὐτοὺς εἶναι ἐν ἁπάσαις ταῖς ἡλικίαις.* Legg. I. 625. B: *ταῖς ἡλικίαις πρέπον ἂν ἡμῶν εἴη τὸ διαναπαύεσθαι πυκνὰ ἐν αὐταῖς.* II. 665. D. VI. 755. C. XII. 968. D: *ὅσοι ἐπιτήδειοι πρὸς τὴν τῆς φυλακῆς φύσιν ἂν εἶεν ἡλικίαις* cet. Pol. VI. 502. D: *κατὰ ποίας ἡλικίας ἕκαστοι ἑκάστων ἁπτόμενοι.* — Sensu qui dicitur concreto etiam homines alicuius aetatis designat. Legg. XII. 959. E: *ὅπως ἂν παίδων τε καὶ ἀνδρῶν καὶ πάσης ἡλικίας ἐπιμελούμενοι ζῶσιν.*

ἡλικιώτης, ὁ, aequalis. Apol. 33. C: *ἐμὸς ἡλικιώτης καὶ δημότης.* Gorg. 471. B: *ἀνεψιὸν αὐτοῦ, σχεδὸν ἡλικιώτην.* Soph. 218. B: *ἐμὸν ... ἡλικιώτην.* Legg. I. 634. E. Prot. 328. C: *Παράλου ... ἡλικιῶται.* Conv. 183. C: (*ἐπειδὰν*) *ἡλικιῶται ... καὶ ἑταῖροι ὀνειδίζωσιν* Legg. II. 658. E: *τοὺς ὑπὸ τῶν ἡμετέρων ἡλικιωτῶν κριθέντας.* Alc. II. 139. C: *τῶν σῶν ἡλικιωτῶν.* Theag. 121. D. 128. C. Charm. 157. D. Clit. 408. C. Ep. VII. 332. D. Charm. 156. A: *ἐν τοῖς ἡμετέροις ἡλικιώταις.* Euth. 2. C: *τοὺς ἡλικιώτας αὐτοῦ.*

ἡλίκος, η, ον, quantus. Charm. 154. B: *καὶ ἡλίκος καὶ οἷος γέγονε.* Ep. VII. 340. D: *ὁ πόνος ἡλίκος.* 335. B: *κακὸν ἡλίκον ἀεὶ μετ' ἀδικήματος ἑκάστου.* Pol. IV. 423. B: *ἡλίκη οὔση ὅσην χώραν ἀφορισάμενος τὴν ἄλλην χαίρειν ἐᾶν.* Legg. XI. 933. E: *τοσαύτην* (*ἔκτισιν τινέτω*), *ἡλίκα ἂν ἑκάστοτε ζημιώσῃ τίς τινα.*

ἧλιξ, ὁ ἡ, qui vel *quae eiusdem est aetatis.* Phil. 15. E: *ἄν τε ἧλιξ ὢν τυγχάνῃ.* Legg. IX. 879. E. 880. B. Phaedr. 240. C: *ἥλικα ... τέρπειν τὸν ἥλικα.* Legg. IX. 879. E. Lach. 180. D: *οὗτοι τι ... οἱ ἥλικες καὶ ἐγὼ* (Cl. *οἱ ἥλικοι ἐγὼ*) *ἔτι γιγνώσκομεν τοὺς νεωτέρους.* Pol. V. 464. E: *ἥλιξι ... ἥλικας ἀμύνεσθαι καλὸν καὶ δίκαιόν που φήσομεν.* Legg. VII. 794. B: *ἥλικας αὐταῖς.*

ἡλιοειδής, ὁ ἡ, soli similis. Pol. VI. 509. A: *φῶς*

τε καὶ ὄψιν ἡλιοειδῆ ... νομίζειν ὀρθόν. 508. A: ἀλλ' ἡλιοειδέστατον γε οἶμαι (ὄμμα) τῶν περὶ τὰς αἰσθήσεις ὀργάνων.

ἥλιος, ὁ, *sol.* Crat. 409. A: ἅλιος ... εἴη ἂν (ἥλιος) κατὰ τὸ ἁλίζειν εἰς ταὐτὸ τοὺς ἀνθρώπους, ἐπειδὰν ἀνατείλῃ. Conv. 220. D: μέχρι ... ἥλιος ἀνέσχεν. Pol. VI. 508. A: οὐκ ἔστιν ἥλιος ἡ ὄψις οὔτε αὐτὴ οὔτε ἐν ᾧ ἐγγίγνεται, ὃ δὴ καλοῦμεν ὄμμα. B. D. Tim. 38. C: ἥλιος καὶ σελήνη καὶ πέντε ἄλλα ἄστρα. Legg. X. 886. A: γῆ καὶ ἥλιος ἄστρα τε τὰ ξύμπαντα. XI. 915. D: θερινὸς ἥλιος. Def. 411. A: ἥλιος πῦρ οὐράνιον. Gorg. 451. C: περὶ τὴν τῶν ἄστρων φορὰν καὶ ἡλίου καὶ σελήνης. Phaed. 61. E: ἐν τῷ μέχρι ἡλίου δυσμῶν χρόνῳ. Theaet. 208. D: ἡλίου πέρι ... ὅτι τὸ λαμπρότατόν ἐστι τῶν κατὰ τὸν οὐρανὸν ἰόντων περὶ γῆν. Conv. 190. B: ὅτι τὸ ... ἄῤῥεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον. Pol. V. 473. E: οὐδὲ αὕτη ἡ πολιτεία μήποτε πρότερον ... φῶς ἡλίου ἴδῃ. VI. 498. A: τοῦ Ἡρακλειτείου ἡλίου. VII. 516. E: ἐξαίφνης ἥκων ἐκ τοῦ ἡλίου. Legg. VII. 809. C. al. Phaedr. 239. C: ἐν ἡλίῳ καθαρῷ τεθραμμένον. Pol. IV. 422. C: ἐν ἡλίῳ τε καὶ πνίγει. Phaed. 99. D: οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες. Theaet. 153. C: τὴν χρυσῆν σειρὰν ὡς οὐδὲν ἄλλο ἢ τὸν ἥλιον Ὅμηρος λέγει. Crat. 397. D: ἥλιον καὶ σελήνην καὶ γῆν cet. Pol. VI. 509. A. B: τὸν ἥλιον τοῖς ὁρωμένοις οὐ μόνον ... τὴν τοῦ ὁρᾶσθαι δύναμιν παρέχειν φύσεις, ἀλλὰ καὶ τὴν γένεσιν καὶ αὔξην καὶ τροφήν, οὐ γένεσιν αὐτὸν ὄντα. VII. 532. A: ἐπιχειρεῖν ἀποβλέπειν καὶ πρὸς αὐτὰ τὰ ἄστρα τε καὶ τελευταῖον δὴ πρὸς αὐτὸν τὸν ἥλιον. B: ἐκ τοῦ καταγείου εἰς τὸν ἥλιον ἐπάνοδος. X. 596. D. Tim. 38. D: ἥλιον ... εἰς τὸν δεύτερον ὑπὲρ γῆς. Legg. X. 886. D: ἥλιόν τε καὶ σελήνην ... ὡς θεοὺς καὶ θεῖα ὄντα (Apol. 26. D.). XII. 950. D: ἥλιον ὄψεσθαι καὶ τοὺς ἄλλους θεούς. Epin. 983. A. 990. B. Apol. 26. D: ἐπεὶ τὸν ... ἥλιον λίθον φησὶν εἶναι.

ἡλιῶ, *insolo.* Pol VIII. 556. D: ἰσχνὸς ἀνὴρ πένης, ἡλιωμένος.

ἧλος, ὁ, *clavus.* Phaed. 83. D: ὥσπερ ἧλον ἔχουσα.

ἧμαι, *sedeo.* Pol. III. 389. E. (Hom.).

ἦμαρ, τό, *dies.* Legg. VI. 777. A: δούλιον ἦμαρ (Hom.). Crit. 44. B. et Hipp. min. 370. C: ἤματι ... τριτάτῳ (Hom.).

ἡμαρτημένως, *male.* Legg. II. 670. C: ἡμαρτημένως (ἔχει, oppos. ὀρθῶς ἔχει). Men. 88. E: ἡμαρτημένως δ' (ἡγεῖται) ἡ ἄφρων (ψυχή).

ἡμεδαπός, ή, όν, *nostras.* Theag. 124. D: ὁ ἡμεδαπὸς Ἀμφίλυτος.

ἠμὲν — ἠδέ, *et — et.* Alc. II. 150. D. (Hom.) E.

ἡμέρα, ἡ, *dies.* Crat. 418. D: ὡς δὴ ἡ ἡμέρα ἥμερα ποιεῖ, διὰ ταῦτα ὠνομάσθαι αὐτὴν οὕτως. Def. 411. B. Prot. 318. A: ἑκάστης ἡμέρας ἀεὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδό-

ναι. C. Id. Conv. 172. E. Pol. III. 401. C. Phaedr. 229. A: *τήνδε τὴν ὥραν ... τῆς ἡμέρας.* 240. C: *οὔθ' ἡμέρας οὔτε νυκτὸς ἑκὼν ἀπολείπεται.* Conv. 203. E: *τῆς αὐτῆς ἡμέρας.* 223. D: *ἤδη ἡμέρας γιγνομένης.* Pol. I. 343. B: *διὰ νυκτὸς καὶ ἡμέρας.* V. 461. D: *ἀφ' ἧς ἂν ἡμέρας τις αὐτῶν νυμφίος γένηται.* VII. 521. C: *ἐκ νυκτερινῆς τινὸς ἡμέρας εἰς ἀληθινὴν ... ἐπάνοδον.* IX. 573. D: *ἡμέρας τε καὶ νυκτὸς ἑκάστης.* Legg. VI. 758. A: *φυλακῆς ἡμέρας ... καὶ νυκτός.* VII. 808. C: *ἡμέρας ... ὄρθρου τε ἐπανιόντων.* Epin. 978. C: *πλὴν τὸ τῆς ἡμέρας γένος.* Ep. VII. 326. B: *δὶς ... τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν.* 349. C. Prot. 309. B: *τῇ νῦν ἡμέρᾳ.* 318. B: *ᾗ ἂν ἡμέρᾳ ἐμοὶ συγγένῃ.* Theaet. 202. D: *τῇδε τῇ ἡμέρᾳ.* Prot. 318. C: *καθ' ἡμέραν.* Polit. 270. A: *καθ' ἡμέραν καὶ νύκτα ἑκάστην.* Gorg. 493. E: *καὶ νύκτα καὶ ἡμέραν.* Phaedr. 251. E: *μεθ' ἡμέραν.* Soph. 266. B. Crat. 418. C: *οἱ ... ἀρχαιότατοι ἱμέραν τὴν ἡμέραν ἐκάλουν, οἱ δὲ ἑμέραν, οἱ δὲ νῦν ἡμέραν.* Conv. 223. C: *ἐξέγρεσθαι ... πρὸς ἡμέραν.* Pol. VII. 530. A: *τὴν ... νυκτὸς πρὸς ἡμέραν ξυμμετρίαν.* Tim. 71. A: *νυκτός τε καὶ μεθ' ἡμέραν.* Critia 117. E. Legg. I. 633. C. al. VI. 767. A: *τὴν τόθ' ἡμέραν ᾗπερ ἂν κρίνων τὴν δίκην ἀποτελῇ.* Hipp. mai. 286. B: *εἰς τρίτην ἡμέραν.* Pol. IX. 588. A: *εἴπερ αὐτοῖς προσήκουσιν ἡμέραι καὶ νύκτες* cet. Legg. VII. 800. A: *ὁπόταν ἡμέραι μὴ καθαραί τινες, ἀλλὰ ἀποφράδες ὦσι.* Charm. 176. B: *ὅσαι ἡμέραι* (*quotidie*). Menex. 246. B. Alc. I. 105. B: *τοῦτο ... ἔσεσθαι μάλα ὀλίγων ἡμερῶν.* Polit. 270. E: *ἐν ὀλίγαις ἡμέραις.* Pol. VIII. 566. D: *ταῖς ... πρώταις ἡμέραις.* Theaet. 151. A: *νύκτας τε καὶ ἡμέρας.* Apol. 40. D. Men. 91. E. — Cum artic. et praepos. *κατά* significat id quod *quotidianum* vel *diurnum* est, etiam *quod in diem* (h. e. in momentum) *durât.* Phaedr. 240. B: *οἷς τό γε καθ' ἡμέραν ἥδιστοισιν εἶναι ὑπάρχει.* Pol. VIII. 561. C: *διαζῇ τὸ καθ' ἡμέραν ἀναγκάζωνται εἶναι.* Tim. 83. E. Legg. V. 742. A: *ἕνεκα ἀλλαγῆς τῆς καθ' ἡμέραν.* VI. 762. E: *τῆς καθ' ἡμέραν διαίτης δεῖ τῆς ταπεινῆς ... γεγευμένον εἶναι.* VIII. 831. C: *πλὴν τοῦ καθ' ἡμέραν κέρδους.* Menex. 238. B: *πρὸς ... τὴν καθ' ἡμέραν δίαιταν.* Locr. 103. B. Ep. VII. 331. B: *τὸ καθ' ἡμέραν.* D. 340. D *τροφῆς τῆς καθ' ἡμέραν.* E. XI. 359. A.

ἡμερήσιος, *α, ον, qui unius diei est* (v. c. *iter*). Locr. 97. C: *ἐν ἁμερησίῳ χρόνῳ.* Pol. X. 616. B: *προελθόντας ἡμερησίαν ὁδόν.* Alc. I. 123. B: *ἐγγὺς ἡμερησίαν ὁδόν.*

ἡμερινός, *ή, όν, diurnus.* Pol. V. 508. C: *ὧν ἂν τὰς χρόας τὸ ἡμερινὸν φῶς ἐπέχῃ.*

ἡμεροδρόμος, *ὁ, cursor* (vern. *Eilbote*). Prot. 335. E: *τῶν ἡμεροδρόμων.*

ἡμεροθηρικός, *ή, όν, ad animalium venationem pertinens*; fem. *animalium cicurum venatio.* Soph. 222. C.

ἥμερος, ὁ ἡ, cicur; mansuetus, mitis; etiam *cultus, stratus* (ut via). Pol. VIII. 549. A: *καὶ δούλοις μέν τισιν ἄγριος εἴη ὁ τοιοῦτος ... ἐλευθέροις δὲ ἥμερος.* VI. 486. B: *εἰ ... δικαία τε καὶ ἥμερος ἢ δυσκοινώνητος καὶ ἀγρία (ψυχή).* Legg. VIII. 837. B. XII. 951. B. Soph. 222. C: *εἴπερ γέ ἐστιν ἄνθρωπος ἥμερον ζῶον.* Polit. 266. A: *ὅσον ἥμερον καὶ ἀγελαῖον.* Pol. III. 410. E: *ἥμερόν τε καὶ κόσμιον.* IX. 591. B: *τὸ δὲ ἥμερον ἐλευθεροῦται.* Soph. 222. B: *εἴτε ἥμερον ... λέγεις αὖ τὸν ἄνθρωπον.* Crat. 406. A: *πρὸς τὸ μὴ τραχὺ τοῦ ἤθους, ἀλλ' ἥμερόν τε καὶ λεῖον.* Pol. III. 410. D: *τὸ ἥμερον οὐχ ἡ φιλόσοφος ἂν ἔχοι φύσις;* Phaed. 82. B: *εἰς τοιοῦτον ... πολιτικόν τε καὶ ἥμερον γένος.* Soph. 222. C. Pol. IX. 589. D: *αἰσχρὰ ... τὰ ὑπὸ τῷ ἀγρίῳ τὸ ἥμερον δουλούμενα.* Tim. 45. B: *τὸ ... παρέχειν φῶς ἥμερον.* Pol. III. 416. C: *πρὸς τὸ ἥμεροι εἶναι αὑτοῖς τε καὶ τοῖς φυλαττομένοις ὑπ' αὐτῶν.* V. 470. E: *οὐκοῦν καὶ ἀγαθοί τε καὶ ἥμεροι ἔσονται;* Legg. IV. 713. D: *ὅσων ἥμεροί εἰσιν ἀγέλαι.* Polit. 264. A: *τὰ μὲν γὰρ ἔχοντα τιθασεύεσθαι (v. τιθασσ.) φύσιν ἥμερα προσείρηται, τὰ δὲ μὴ ἔχοντα ἄγρια.* Legg. X. 885. E: *παρὰ ... νομοθετῶν φασκόντων εἶναι μὴ ἀγρίων, ἀλλὰ ἡμέρων.* Phaedr. 260. B: *τῶν ἡμέρων ζώων.* Soph. 222. B: *τὸ μὲν τῶν ἡμέρων, τὸ δὲ τῶν ἀγρίων.* Polit. 265. B. 289. A. B. Legg. VI. 765. E. Critia 118. B: *τροφὴν τοῖς πᾶσιν ἡμέροις καὶ ἀγρίοις ἱκανὴν θρέμμασιν.* Crat. 418. D: *ὡς δὴ ἡ ἡμέρα ἥμερα ποιεῖ.* Pol. IX. 589. B: *τὰ ... ἥμερα τρέφων καὶ τιθασεύων.* X. 620. D: *τὰ ... δίκαια εἰς τὰ ἥμερα μεταβάλλοντα.* Critia 114. E: *ζῶα ... ἥμερα καὶ ἄγρια τρέφουσα.* Theaet. 210. C: *ἡμερώτερος.* Legg. IX. 867. D. Phaedr. 230. A: *εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῶον.* Legg. IV. 709. B: *ἡμερώτερον ... τρίτον ξυγχωρῆσαι τούτοις δεῖν ἕπεσθαι τέχνην.* 718. D. Prot. 326. B: *ἵνα ἡμερώτεροί τε ὦσι* cet. Soph. 246. C Pol. V. 740. E: *πολὺ γὰρ ... ἡμερωτέρων αὕτη ἡ διάνοια ἐκείνης.* Gorg. 516. B: *παραλαβὼν ἡμερώτερα.* Soph. 231. A: *καὶ γὰρ κυνὶ λύκος, ἀγριώτατον ἡμερωτάτῳ (προςέοικε).* Legg. VI. 766. A: *ἡμερώτατον ... ζῶον.* 761. A: *ὅπως ὡς ἡμερώταται ἕκασται (ὁδοὶ) γίγνωνται.* — In arboribus et frugibus pos. est *sativus.* Critia 115. A: *τὸν ἥμερον καρπόν.* Tim. 77. A: *ἥμερα δένδρα καὶ φυτὰ καὶ σπέρματα.* Critia 111. C. Tim. 77. B: *πρὶν δ' ἦν μόνα τὰ τῶν ἀγρίων γένη, πρεσβύτερα τῶν ἡμέρων ὄντα.*

ἡμερότης, ἡ, mansuetudo. Pol. III. 410. D: *μαλακίας τε καὶ ἡμερότητος.*

ἡμεροφανής, ὁ ἡ, interdiu conspicuus. Def. 411. A: *ἄστρον ἡμεροφανές.*

ἡμερῶ, mansuefacio; mitigo; pass. et med. *mansuesco* et *mansuetus sum.* Legg. X. 890. C: *πειθὼ ... μηδεμίαν ἔχειν ... εἰς δύναμιν ἡμεροῦν.* Pol. VIII. 554. D: *οὐ πείθων ...*

οὐδ' ἡμερῶν λόγῳ. Legg. II. 666. E. Pol. IV. 442. A: *ἡμεροῦσα ἁρμονίᾳ τε καὶ ῥυθμῷ.* Legg. XI. 937. D: *δίκη ... ὃ πάντα ἡμέρωκε τὰ ἀνθρώπινα.* Polit. 309. D: *ἀνδρεία ψυχὴ ... ἆρ' οὐχ ἡμεροῦται —;* Pol. VI. 493. B: *οἵας (φωνὰς) αὖ ἄλλου φθεγγομένου ἡμεροῦταί τε καὶ ἀγριαίνει.* IX. 591. B: *τὸ ... θηριῶδες κοιμίζεται καὶ ἡμεροῦται.* Soph. 230. B: *πρὸς ... τοὺς ἄλλους ἡμεροῦνται.* Legg. IV. 720. D: *μετὰ πειθοῦς ἡμερούμενον ἀεὶ παρασκευάζων τὸν κάμνοντα.* X. 906. D: *ἡμερούμενοι τοῖς δώροις.* XI. 935. A: *ὅσον ὑπὸ παιδείας ἡμερώθη ποτέ.*

ἡμέρως, *mansuete.* Legg. IX. 867. D: *τὰ περὶ τὸν φόνον ἀγριωτέρως ἂν πράξειεν, ὁ δὲ ἡμερωτέρως.*

ἡμέτερος, α, ον, *noster.* Crit. 50. E: *ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος.* Pol. VII. 519. C: *ἡμέτερον δὴ ἔργον ... τῶν οἰκιστῶν ... ἀναγκάσαι* cet. Legg. VIII. 828. A: *σχεδὸν ἴσως ἡμέτερον ἂν νομοθετεῖν* cet. IX. 855. D. Charm. 154. C: *τὸ ... ἡμέτερον τὸ τῶν ἀνδρῶν ἧττον θαυμαστὸν ἦν.* Gorg. 514. B: *ἡμέτερον αὐτῶν (οἰκοδόμημα).* Pol. VII. 530. E: *ἡμεῖς δὲ ... φυλάξομεν τὸ ἡμέτερον.* Legg. VII. 815. D: *ὡς ἀναμφισβητήτως ἡμέτερον ὄν.* Crat. 418. B: *οἱ παλαιοὶ οἱ ἡμέτεροι.* Pol. VIII. 556. D: *ὅτι ἄνδρες ἡμέτεροι εἰσὶν οὐδέν.* Prot. 311. D: *τὰ ἡμέτερα χρήματα.* Lys. 210. B: *ἡμέτερά τε ταῦτα ἔσται.* Hipp. mai. 301. C: *τοιαῦτα ... τὰ ἡμέτερά ἐστιν, οὐχ οἷα βούλεταί τις ... ἀλλ' οἷα δύναται.* — Neutr. est *quod ad nos attinet* et simpl. *nos.* Tim. 27. D: *τὸ δ' ἡμέτερον παρακλητέον ᾗ* cet. Legg. VI. 778. D: *τὸ δ' ἡμέτερον ἔτι πρὸς τούτοις γέλωτ' ἂν δικαίως πάμπολυν ὄφλοι.* IX. 860. C: *τὸ ... ἡμέτερον ... πάλιν ἴδωμεν πῶς ... ἔχει τῆς συμφωνίας.*

ἠμί, i. q. *φημί;* unde impf. *ἦν* (*ἦν δ' ἐγώ* Pol. I. 327. C. 328. A. al.) et *ἦ* (*ἦ δ' ὅς* Pol. I. 327. E. *ἦ δ' ἥ* Conv. 205. C. et nomine apposito Phaed. 70. B: *ἦ δ' ὃς ὁ Σωκράτης.* Pol. I. 327. B: *ἦ δ' ὃς ὁ Γλαύκων* al.).

ἡμιγενής, ὁ ἡ, *qui dimidiati* vel *imperfecti est generis.* Tim. 66. D: *τὸ ... τῶν ὀσμῶν πᾶν ἡμιγενές.*

ἡμίθεος, ὁ, *semideus.* Crat. 398. C: *οὐκ οἶσθα ὅτι ἡμίθεοι οἱ ἥρωες;* Apol. 28. C: *τῶν ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευτήκασιν.* 41. A: *ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ.* Adiect. Epin. 985. B: *τὸ δὲ ὕδατος πέμπτον ὂν ἡμίθεον ἀπεικάσειεν ἄν τις ... ἐξ αὐτοῦ γεγονέναι.*

ἡμιμναῖον, τό, *dimidia mina.* Legg. VI. 774. D: *ὁ δὲ τριῶν ἡμιμναίων.*

ἡμιμόχθηρος, ὁ ἡ, *ad dimidiam partem malus.* Pol. I. 352. C: *ἡμιμόχθηροι ὄντες* (sq. *παμπόνηροι*).

ἡμιόλιος, ὁ ἡ et *α, ον*, *sesquialter, sequi maior.* Locr. 98. A: *ἁμιόλιος ... τᾶς μέσας ἐᾶσα.* Phaed. 105. A: *οὐδὲ αὖ τὸ ἡμιόλιον (τὴν τοῦ περιττοῦ δέξεται).* Epin. 991. A:

ἐν μέσῳ ... τοῦ ἓξ πρὸς τὰ δώδεκα ξυνέβη τό τε ἡμιόλιον καὶ ἐπίτριτον. Tim. 35. B: *τὴν δ' αὖ τρίτην ἡμιολίαν μὲν τῆς δευτέρας.* Legg. XII. 956. D: *τὴν ἡμιολίαν τοῦ τιμήματος ἀποτινέτω.* bis. Tim. 36. A: *ἡμιολίων ... διαστάσεων ... γενομένων.* 43. D: *τὰς τῶν ἡμιολίων καὶ ἐπιτρίτων ... μεσότητας.* Theaet. 154. C: *ἀστραγάλους ... ἓξ ... πλείους φαμὲν εἶναι τῶν τεττάρων καὶ ἡμιολίους.*

ἡμίονος, ὁ, mulus. Apol. 27. E: *εἴ τις ἵππων ... παῖδας ἡγοῖτο* [*ἢ*] *καὶ ὄνων τοὺς ἡμιόνους.*

ἡμιπαγής, ὁ ἡ, ad dimidias concretus. Tim. 59. E: *ἡμιπαγές τε ὂν ἔτι.* 60. D: *ἡμιπαγεῖ γενομένῳ.*

ἡμίσεως, ad dimidias (vern. *zur Hälfte*). Pol. X. 601. C: *μὴ τοίνυν ἡμίσεως* (al. *ἐφ' ἡμισέως*) *αὐτὸ καταλίπωμεν ῥηθέν, ἀλλ' ἱκανῶς ἴδωμεν.*

ἥμισυς, εα et *εια, υ, dimidius.* Phaed. 104. A: *ὁ ἥμισυς τοῦ ἀριθμοῦ ἅπας.* Legg. I. 647. D: *ὁστισοῦν οὐδ' ἂν ἥμισυς ἑαυτοῦ γένοιτο πρὸς ἀρετήν.* Tim. 83. E: *ἡμίσεια τῆς ξυμφορᾶς ἡ δύναμις.* Legg. VII. 805. A: *σχεδὸν ... ὀλίγου πᾶσα ἡμίσεια πόλις ἀντὶ διπλασίας οὕτως ἔστι τε καὶ γίγνεται ἐκ τῶν αὐτῶν τελῶν καὶ πόνων.* Phaed. 77. C: *φαίνεται ... ὥσπερ ἥμισυ ἀποδεδεῖχθαι οὗ δεῖ.* 105. B: *τὸ ἥμισυ.* Soph. 221. B: *ξυμπάσης ... τέχνης τὸ ... ἥμισυ μέρος.* 223. D: *σχεδὸν αὐτῆς ἥμισυ μέρος ὄν.* Polit. 282. B: *τὸ τῆς κερκιστικῆς ἥμισυ.* Legg. III. 690. E: *ὡς τὸ ἥμισυ τοῦ παντὸς πολλάκις ἐστὶ πλέον.* VI. 753. E: *ἀρχὴ ... ἥμισυ παντὸς ... ἔργου.* Ib. *πλέον ἢ τὸ ἥμισυ.* Men. 83. C: *ἀπὸ τῆς ἡμισέας* (nonnulli codd. *ἡμισείας*) *ταυτησὶ τουτί.* Conv. 205. E: *οὐθ' ἡμίσεός φησιν εἶναι τὸν ἔρωτα οὔθ' ὅλου.* Tim. 56. E: *κερματισθέντος* (*ἀέρος*) *... ἐκ δυεῖν ὅλοιν καὶ ἡμίσεος* (v. *ἡμίσεως*). Charm. 168. C: *ἡμίσεος ... ὄντος ἑαυτοῦ ... διπλάσιον ἂν εἴη.* De lucri cup. 231. D: *ἢ οὐ πλέον ἐστὶ τὸ διπλάσιον τοῦ ἡμίσεος* (v. *ἡμίσεως*). Phaed. 96. E: *διὰ τὸ ἡμίσει αὐτοῦ ὑπερέχειν.* Conv. 192. B: *ὅταν ... αὐτῷ ἐκείνῳ ἐντύχῃ τῷ αὑτοῦ ἡμίσει.* Legg. VII. 806. C: *τέλεον ... καὶ οὐδ'* (*οὐχὶ?*) *ἥμισυν δεῖν τὸν νομοθέτην εἶναι.* XII. 946. A: (*ἐὰν*) *τὸν ἥμισυν ἀριθμὸν πλείω ποιῶσιν.* 956. D: *τὴν ἡμίσειαν τοῦ τιμήματος ἀποτινέτω.* Ep. VII. 347. C: *τὴν ἡμίσειαν τῆς οὐσίας.* D. Conv. 190. E: *τὸ τοῦ αὐχένος ἥμισυ.* 191. A: *ποθοῦν ἕκαστον τὸ ἥμισυ τὸ αὑτοῦ ξυνῄει.* 205. D. Pol. V. 466. C: *πλέον εἶναί πως ἥμισυ παντός.* Critia 120. D. Legg. VI. 767. E: *τοῦ βλάβους ... τὸ ἥμισυ τίνειν.* VII. 806. C. XI. 937. C. Men. 83. E: *τὸ ἥμισυ ταύτης προσληψόμεθα.* Legg. VIII. 842. C: *οὐ ... μόνον ἡμίσεις αὖ γίγνονται νόμοι μέτριοι.* Pol. V. 479. B: *τὰ πολλὰ διπλάσια ἧττόν τι ἡμίσεα ἢ διπλάσια φαίνεται;* Legg. II. 672. E: *τὰ ... τῆς χορείας ἡμίσεα διαπεπεράνθω.* XII. 946. A: *μέχρι τῶν ἡμισέων.* Conv. 191. B: *ὁπότε τι ἀποθάνοι τῶν ἡμίσεων.* Legg. V. 743. B: *ἡμίσεων ... ἀναλω-*

μάτων. XI. 928. E. Polit. 262. A: *ἐν τοῖς ἡμίσεσιν.* Legg. V. 745. A: *φανεῖ ... ὁ βουλόμενος ἐπὶ τοῖς ἡμίσεσιν.* Theaet. 105. C: *ἐλάττους καὶ ἡμίσεις (εἶναι).* Legg. VI. 756. E: *τοὺς ἡμίσεις τούτων.* XII. 946. A. 948. D. Pol. IV. 438. C: *τὰ διπλάσια πρὸς τὰ ἡμίσεα.* VII. 535. D: *τὰ μὲν ἡμίσεα φιλόπονον, τὰ δὲ ἡμίσεα ἄπονον.* Legg. II. 672. E: *τὰ δ' ἡμίσεα ... περανοῦμεν* cet. VIII. 833. C: *τὰ τούτων ἡμίσεα.* Ep. III. 318. E.

ἡμισφαίριον, τό, *dimidius globus.* Ax. 371. A: *οὗ (πόλου) τὸ μὲν ἕτερον ἡμισφαίριον θεοὶ ἔλαχον* cet.

ἡμιτετράγωνος, ὁ ἡ, *semiquadrangulus.* Locr. 98. A: *ὧν τὸ ... ὀρθογώνιον ἰσοσκελὲς ἡμιτετράγωνον.* B. Ib. *ἁμιτετράγωνον* v. legitur.

ἡμιτρίγωνος, ὁ ἡ, *semitriangulus.* Locr. 98. B: *ἁμιτρίγωνόν ἐστιν ἰσοπλεύρῳ τριγώνῳ.*

ἤν (ἐάν), *si.* Pol. I. 327. C: *τὸ ἢν πείσωμεν ὑμᾶς ὡς* cet. Lys. 208. A. al.

ἡνία, ἡ, *habena.* Prot. 338. A: *ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας τοῖς λόγοις.* Phaedr. 254. C: *εἰς τοὐπίσω ἑλκύσαι τὰς ἡνίας.* Polit. 266. E: *παραδοῦναι τὰς τῆς πόλεως ἡνίας.* Pol. X. 601. C: *ζωγράφος ... ἡνίας τε γράψει καὶ χαλινόν.* Lys. 208. A: *λαβὼν τὰς ἡνίας.* Ion. 537. B: *ἡνία* (Hom.).

ἡνίκα, *quum; quando.* Phaedr. 247. B: *ἡνίκ' ἂν πρὸς ἄκρῳ γένωνται.* Gorg. 509. E: *ἡνίκα ὡμολογήσαμεν* cet. Theaet. 162. C. Soph. 266. C. Polit. 258. B. Conv. 198. C: *τότε ... ἡνίκα ὑμῖν ὡμολόγουν* cet. Pol. I. 336. D: *ἡνίκα ὑπὸ τοῦ λόγου ἤρχετο ἐξαγριαίνεσθαι.* VII. 537. B: *ἐν τίνι ... ἡλικίᾳ; Ἡνίκα ... τῶν ἀναγκαίων γυμνασίων μεθίενται.* Tim. 68. E. Legg. III. 685. B: *ὡς ἔφαμεν, ἡνίκα ἠρχόμεθα πορεύεσθαι.* Apol. 40. B. al.

ἡνιοχεία, ἡ, *aurigatio.* Theag. 123. D: *οὐκοῦν καὶ ἡ ἡνιοχεία σοφία ἐστίν;* Ion. 537. A: *περὶ ἡνιοχείας.* Gorg. 516. E: *ἐν ἡνιοχείᾳ.* Legg. VII. 795. A: *ἐν ἡνιοχείαις.*

ἡνιόχησις, ἡ, *aurigatio.* Phaedr. 246. B: *χαλεπὴ ... ἡ περὶ ἡμᾶς ἡνιόχησις.*

ἡνιοχικός, ή, όν, *ad aurigationem pertinens, aurigae proprius.* Ion. 538. B: *ἡ δὲ ῥαψῳδικὴ τέχνη ἑτέρα ἐστὶ τῆς ἡνιοχικῆς;* 540. A. Theag. 123. C: *ἆρ' οὐχὶ ἡνιοχικήν (σοφίαν);* Phaedr. 253. D: *ἡνιοχικὸν ... εἶδος τρίτον.* 254. A: *ὁ δὲ οὔτε κέντρων ἡνιοχικῶν ... ἐντρέπεται.*

ἡνίοχος, ὁ, *auriga,* et in univ. *rector.* Phaedr. 247. E: *ὁ ἡνίοχος πρὸς τὴν φάτνην τοὺς ἵππους στήσας.* Lys. 208. A. Ion. 537. C. 538. B. Phaedr. 246. A: *ζεύγους τε καὶ ἡνιόχου.* 248. A. Polit. 266. E: *οἷον ἡνίοχον εἰς αὐτὴν ἐνστήσαντα.* Critia 116. E: *ἓξ ὑποπτέρων ἵππων ἡνίοχον.* 119. B. Phaedr. 246. A: *θεῶν ... ἵπποι τε καὶ ἡνίοχοι.* Gorg. 516. E: *οἵ γε ἀγαθοὶ ἡνίοχοι.* Legg. X. 905. E. Phaedr.

247. B: τῶν ἡνιόχων. Legg. X. 906. E: ἡνιόχοισί γε ἐν ἁμίλλῃ συντεταγμένοις.

ἡνιοχῶ, *habenas teneo, aurigo, rego.* Phaedr. 246. B: ἡμῶν ὁ ἄρχων ξυνωρίδος ἡνιοχεῖ. 253. D: ἄπληκτος κελεύματι μόνον καὶ λόγῳ ἡνιοχεῖται.

ἧπαρ, τό, *iecur.* Tim. 67. B: περὶ τὴν τοῦ ἥπατος ἕδραν. 71. A: τὴν τοῦ ἥπατος ἰδέαν ξυνέστησε. 72. B: ἡ ... φύσις τοῦ ἥπατος. Locr. 101. A. Tim. 71. B: κατὰ πᾶν ... τὸ ἧπαρ. D: τὴν περὶ τὸ ἧπαρ ψυχῆς μοῖραν κατῳκισμένην. 72. C. Locr. 100. A: τῶ ... ἀλόγω μέρεος ... τὸ ... ἐπιθυματικὸν περὶ τὸ ἧπαρ.

ἤπειρος, ἡ, *continens* (insulis opposita); etiam Graecia vel Europa et Asia (praec. minor). Tim. 25. A: ἡ ... περιέχουσα αὐτὸ (τὸ πέλαγος) γῆ ... ὀρθότατ᾽ ἂν λέγοιτο ἤπειρος. Ib. κρατοῦσα ... πολλῶν ... ἄλλων νήσων καὶ μερῶν τῆς ἠπείρου. Critia 111. A. Phaed. 111. A: ἃς (νήσους) περιῤῥεῖν τὸν ἀέρα, πρὸς τῇ ἠπείρῳ οὔσας. Alc. I. 105. B: ὅσοι (βάρβαροι) ἐν τῇ αὐτῇ ἡμῖν οἰκοῦσιν ἠπείρῳ. Charm. 158. A: οὐδεὶς τῶν ἐν τῇ ἠπείρῳ λέγεται καλλίων καὶ μείζων ἀνὴρ δόξαι εἶναι. Menex. 240. E: ξυμπάντων τῶν ἐν τῇδε τῇ ἠπείρῳ. 245. B: τοὺς Ἕλληνας τοὺς ἐν τῇ ἠπείρῳ. C. Tim. 25. A: ἐκ ... τῶν νήσων ἐπὶ τὴν καταντικρὺ πᾶσαν ἤπειρον τὴν περὶ τὸν ἀληθινὸν ἐκεῖνον πόντον. Critia 110. D. Epin. 992. B: εἴτε τις ἐν ἠπείροις εἴτ᾽ ἐν νήσοις μακάριος ὢν ζῇ.

ἤπειτα legitur Legg. IV. 719. A: ῥηΐδίη δ᾽ ἤπειτα πέλει (Hes.), sed scrib. sine dubio δὴ ἔπειτα (v. Matth. Gr. gr. §. 46.). Prot. 340. D. autem, ubi v. scribitur ῥηΐδίην δ᾽ ἔπειτα πέλειν, e Cl. al. δήπειτα exhibentibus repon. videtur δὴ 'πειτα.

ᾗπερ, *sicut, ut.* Phaed. 78. C: διαιρεθῆναι ταύτῃ ᾗπερ ξυνετέθη. Theaet. 157. D: ᾗπερ διελήλυθας. Pol. I. 330. C: κατὰ τὴν χρείαν, ηπερ οἱ ἄλλοι. Tim. 39. E. 82. C: τῶν ... ἄλλων τὰ πλεῖστα ᾗπερ τὰ πρόσθεν. Legg. VI. 752. A. al.

ἤπιος, ὁ ἡ, *lenis, mitis;* etiam *leniens.* Pol. III. 408. A: ἤπια φάρμακ᾽ ἔπασσον (Hom.). Phaedr. 279. B: ἐπειδὴ καὶ τὸ πνῖγος ἠπιώτερον γέγονεν. Tim. 85. A: τὸ ... λευκὸν φλέγμα ... ἠπιώτερον.

ἠρέμα, *tranquille, tacite;* etiam *ita ut non sentias* (vern. *unmerklich*). Crat. 399. E: ἔχε ἠρέμα (Id. Hipp. mai. 296. A.). Conv. 221. B: ἠρέμα παρασκοπῶν. Pol. IV. 424. D: ἠρέμα ὑποῤῥεῖ πρὸς τὰ ἤθη cet. Ax. 372: νυνὶ δὲ ἠρέμα κατ᾽ ἐμαυτὸν ἀναριθμήσομαι τὰ λεχθέντα. Ep. II. 310. E: ἅτε οὐκ ὀλίγην γεγενημένην (τὴν συνουσίαν ἡμῶν) οὐδ᾽ ἠρέμα. **placide, leniter;* etiam *paululum.* Prot. 333. E: ἠρέμα ἠρόμην. Phaedr. 230. C: ἐν ἠρέμα προσάντει. Phaed. 62. A: ἠρέμα ἐπιγελάσας ... ἔφη. 84. D: καὶ ὃς ἀκούσας ἐγέλασέ τε ἠρέμα

καί φησι. 83. A: *ἠρέμα παραμυθεῖται.* Theaet. 152. B: *ὁ μὲν ἠρέμα (ῥιγοῖ), ὁ δὲ σφόδρα.* 154. E. 165. D: *καὶ σφόδρα καὶ ἠρέμα τὸ αὐτό.* Crat. 413. A: *ἐπειδὰν δ' ἠρέμα αὐτοὺς ἐπανερωτῶ* cet. Phil. 24. C: *τὸ σφόδρα ... καὶ τό γε ἠρέμα.* E. 47. A: *ἠρέμα ἀγανακτεῖν ποιεῖ.* Pol. V. 476. E: *πείθειν ἠρέμα.* VI. 494. D: *ἐάν τις ἠρέμα προσελθὼν τἀληθῆ λέγῃ.* VII. 533. D: *ἠρέμα ἕλκει καὶ ἀνάγει ἄνω.* Legg. I. 629. A: *ἠρέμα ἀνερωτᾶν.* VII. 820. A: *εἰ δ' ἔστι μήτε σφόδρα μήτε ἠρέμα δυνατὰ ἔνια.* Ep. XIII. 362. E: *οὐκ ἠρέμα ἂν ἄχθεσθαι εἰ γίγνοιτο.* **tarde.* Pol. X. 617. A: *τοὺς ... ἐντὸς ἑπτὰ κύκλους ... ἠρέμα περιφέρεσθαι, αὐτῶν δὲ τούτων τάχιστα ... ἰέναι τὸν ὄγδοον* cet.

ἠρεμαῖος, α, ον, lenis; moderatus. Polit. 306. E: *τὸ τῆς ἠρεμαίας αὖ γενέσεως εἶδος.* Legg. V. 733. C: *ἐν ᾧ (βίῳ) ὀλίγα ἑκάτερα καὶ σμικρὰ καὶ ἠρεμαῖα.*

ἠρέμησις, ἡ, sedatio. Locr. 104. B: *ἐπιθυμίαν δὲ ἐν ἀρεμήσει (εἶμεν).*

ἠρεμία, ἡ, tranquillitas. Def. 412. A: *ἠρεμία ψυχῆς περὶ τὰ δεινὰ καὶ θαρσαλέα κατὰ τὸν ὀρθὸν λόγον φαινόμενα.*

ἠρεμῶ, quiesco vel *quietus sum;* etiam *taceo.* Legg. X. 891. A: *διότι τὰ περὶ νόμους προστάγματα ἐν γράμμασι τεθέντα ... πάντως ἠρεμεῖ.* XII. 956. D: *ἐὰν δὲ ὁ διώκων ... μὴ ἠρεμῇ.* Locr. 95. D: *καὶ ἀρεμέωσα καὶ κινωμένα (ἁ σφαῖρα).* Ep. VII. 326. C: *πόλις ... οὐδεμία ἂν ἠρεμήσαι* cet. **stabilis sum* vel *maneo.* Gorg. 527. B: *ἐν τοσούτοις λόγοις τῶν ἄλλων ἐλεγχομένων μόνος οὗτος ἠρεμεῖ ὁ λόγος ὡς* cet. Phaed. 96. B: *λαβούσης (μνήμης καὶ δόξης) τὸ ἠρεμεῖν.* Soph. 248. E: *ὃ δή φαμεν οὐκ ἂν γενέσθαι περὶ τὸ ἠρεμοῦν.*

ἦρι, mane. Hipp. min. 370. B. (Hom.).

ἡρωϊκός, ή, όν, heroicus. Crat. 398. E: *ὥστε ῥητόρων καὶ σοφιστῶν γένος γίγνεται τὸ ἡρωϊκὸν φῦλον.* Legg. XII. 958. E: *μὴ πλείω τεττάρων ἡρωϊκῶν στίχων.*

ἡρῷος, α, ον, herous. Pol. III. 400. B: *καὶ δάκτυλον καὶ ἡρῷόν γε (ῥυθμόν).*

ἥρως, ὁ, heros. Crat. 398. C: *ὁ ἥρως ... τὸ ὄνομα, δηλοῦν τὴν ἐκ τοῦ ἔρωτος γένεσιν.* Pol. VIII. 558. A: *περινοστεῖ ὥσπερ ἥρως.* Legg. VII. 818. C: *οὐκ ἄν ποτε γένοιτο ... θεὸς οὐδὲ δαίμων οὐδὲ ἥρως* cet. Pol. III. 391. B: *Πατρόκλῳ ἥρωϊ* (Hom.). D: *μηδέ τιν' ἄλλον θεοῦ παῖδά τε καὶ ἥρω.* Legg. V. 738. D: *θεὸν ἢ δαίμονα ἤ τινα ἥρωα.* De lege 319. B: *εἰς ἥρω Διὸς υἱόν.* Crat. 398. D: *ὅθεν γεγόνασιν οἱ ἥρωες.* Ib. *οἱ ἥρωες ῥήτορές τινες καὶ ἐρωτητικοὶ συμβαίνουσιν.* Pol. III. 391. D: *(ὡς) ἥρωες ἀνθρώπων οὐδὲν βελτίους.* Men. 81. C: *ἥρωες ἁγνοί* (Pind.). Crat. 397. B: *τὰ ... τῶν ἡρώων καὶ ἀνθρώπων λεγόμενα ὀνόματα.* Conv. 179. C: *μένος ἐμπνεῦσαι ἐνίοις τῶν ἡρώων τὸν θεόν.* 180. A. Pol. III. 404. B: *ἐν ταῖς τῶν ἡρώων ἑστιάσεσιν.* IV. 427.

B: *καὶ ἄλλαι θεῶν τε καὶ δαιμόνων καὶ ἡρώων θεραπεῖαι.* X. 605. D. Hipp. mai. 285. D: *περὶ τῶν γενῶν ... τῶν τε ἡρώων καὶ τῶν ἀνθρώπων.* 293. B. al. Legg. IV. 717. B: *ἥρωσι ... μετὰ τούτους (τοὺς δαίμονας).* IX. 853. C: *θεῶν παισὶ ... τοῖς ἥρωσιν.* Hipp. mai. 293. B. Crat. 397. D: *δαίμονάς τε καὶ ἥρωας καὶ ἀνθρώπους.* 398. D: *ἤτοι τοῦτο λέγει τοὺς ἥρωας, ἢ ὅτι σοφοὶ ἦσαν καὶ ῥήτορες δεινοὶ καὶ διαλεκτικοί, ἐρωτᾶν ἱκανοὶ ὄντες.* Legg. VII. 801. E. Apol. 28. A.

ἡσυχάζω, *sedo.* Pol. IX. 572. A: *ἡσυχάσας μὲν τὼ δύο εἴδη, τὸ τρίτον δὲ κινήσας.* Neutr. *quiesco.* Crat. 421. B: *τὸ ἀναγκαζόμενον ἡσυχάζειν.* Parm. 162. E: *τὸ δὲ ἡσυχάζον ἑστάναι (ἀνάγκη).*

ἡσυχαῖος, α, ον, *tranquillus, placidus.* Legg. VI. 775. C: *ἀπλανὲς ἡσυχαῖόν τε ... ξυνίστασθαι τὸ φυόμενον (δεῖ).* Polit. 307. A: *ἡσυχαῖά πού φαμεν ἑκάστοτε καὶ σωφρονικά.*

ἡσυχῇ, *quiete, placide.* Phaed. 115. C: *γελάσας ... ἡσυχῇ.* Legg. VII. 797. B: *ἐᾷ καὶ τὰ σπουδῇ κείμενα νόμιμα μένειν ἡσυχῇ.* Hipp. mai. 298. C: *ἔχ' ἡσυχῇ.* * *paulatim, lente.* Charm. 159. B: *ἡσυχῇ ἔν τε ταῖς ὁδοῖς βαδίζειν καὶ διαλέγεσθαι* cet. C: *πότερον ... κάλλιστον ... τὰ ὅμοια γράμματα γράφειν ταχύ, ἢ ἡσυχῇ;* Ib. *καὶ τὸ παλαίειν ὀξέως πολὺ κάλλιον τοῦ ἡσυχῇ τε καὶ βραδέως.* D: *τὰ δὲ βραδέως, μόγις τε καὶ ἡσυχῇ (γιγνόμενα) τὰ τοῦ αἰσχροῦ (ἐστί).* E: *ἡσυχῇ καὶ βραδέως (μανθάνειν).* Ib. *διδάσκειν δὲ ἄλλον οὐ ταχέως κάλλιον καὶ σφόδρα μᾶλλον ἢ ἡσυχῇ τε καὶ βραδέως;* 160. C: *τὸ ἡσυχῇ πράττειν* (oppos. *τὸ σφόδρα τε καὶ ταχέως*).

ἡσυχία, ἡ, *quies, tranquillitas* vel *tranquillum.* Theaet. 153. A: (*ὅτι*) *τὸ ... μὴ εἶναι καὶ ἀπόλλυσθαι ἡσυχία (παρέχει).* Pol. VIII. 566. E: (*ὅταν*) *ἡσυχία ἐκείνων γένηται.* IX. 583. E: *ἡ τῆς ἡδονῆς ἡσυχία λυπηρὸν ἔσται.* 584. A. Tim. 45. E: *ἡσυχία γίγνεται.* Charm. 160. A: *ἡ δ' ἀγχίνοια οὐχὶ ὀξύτης τίς ἐστι τῆς ψυχῆς, ἀλλ' οὐχὶ ἡσυχία;* Lys. 207. A: *ἦν γὰρ αὐτόθι ἡσυχία.* Theaet. 153. B: *ἡ τῶν σωμάτων ἕξις οὐχ ὑπὸ ἡσυχίας ... καὶ ἀργίας διόλλυται —;* 180. A: *πρὸς τὸ μηδὲ σμικρὸν ἐνεῖναι τοῖς ἀνδράσιν ἡσυχίας.* Pol. VI. 503. C: *κοσμίως μετὰ ἡσυχίας ... ζῆν.* Menex. 243. D: *ἡσυχίας γενομένης καὶ εἰρήνης πρὸς τοὺς ἄλλους.* Phaedr. 229. A: *εἶτα ... ἐν ἡσυχίᾳ καθιζησόμεθα.* Pol. IX. 575. B: *ἐὰν δ' ἐν εἰρήνῃ τε καὶ ἡσυχίᾳ γένωνται.* Ax. 370. D: *ἀσαλεύτῳ ἡσυχίᾳ εὐδιαζόμενος (βίος).* Pol. IX. 583. C: *ἡσυχίαν τινὰ ... τῆς ψυχῆς (εἶναι).* D: *τὴν ἡσυχίαν τοῦ τοιούτου (τοῦ λυπεῖσθαι) ἐγκωμιάζουσιν ὡς ἥδιστον.* Tim. 70. E: *καθ' ἡσυχίαν.* 71. C. Legg. VII. 790. D: *οὐχ ἡσυχίαν αὐτοῖς προσφέρουσιν, ἀλλὰ τοὐναντίον κίνησιν.* 791. A: *γαλήνην ἡσυχίαν τε ἐν τῇ ψυχῇ φαίνεται ἀπεργασαμένη τῆς ... πηδήσεως.* 816. A. Cum vv. *ἔχειν* et *ἄγειν.* Prot. 356. E: *ἡσυχίαν ἂν ἐποίησεν ἔχειν τὴν ψυχήν.* Gorg. 493. E: *ἀλλ' ἕνεκα*

τούτων ἡσυχίαν ἔχοι. Pol. VI. 496. D: *ἡσυχίαν ἔχων.* Alc. II. 150. C. Phaed. 117. E: *ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ καρτερεῖτε.* Polit. 294. B. Parm. 139. B. Conv. 190. D: (*ἐὰν*) *μὴ ἐθέλωσιν ἡσυχίαν ἄγειν.* Pol. I. 336. B: *οὐκέτι ἡσυχίαν ἦγεν.* X. 604. B: *ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς.* 605. D: *ἡσυχίαν ἄγειν καὶ καρτερεῖν.* Tim. 19. B: *ἡσυχίαν ... ἄγοντα* (*ζῶα*). 27. A. 89. A. E: *τῶν ἑαυτοῦ κινήσεων ἡσυχίαν ἄγον.* Legg. II. 652. D. Apol. 36. B: *ὅτι μαθὼν ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον.* 37. E. Crit. 48. D. Menex. 244. B: *ἡσυχίαν ἦγεν ἡ πόλις.* Clit. 408. A: *τὸ ἄγειν ἡσυχίαν τῇ ψυχῇ καὶ μὴ ζῆν.* Ep. II. 312. C: *μὴ τιμώμενος δὲ ἡσυχίαν ἄξω.* Theaet. 153. C: *ὅτι αἱ ... ἡσυχίαι σήπουσι καὶ ἀπολλύασι.*

ἡσύχιος, ὁ ἡ, *quietus, placidus*; etiam *lentus* (vern. *bedächtig*). Charm. 160. B: *οὐδ' ὁ ἡσύχιος ὁ σώφρων βίος.* D. 159. D: *οὐ τὸ ἡσύχιον, ἀλλὰ τὸ τάχιστον καὶ ὀξύτατον.* 160. D: *τοῦ μὴ ἡσυχίου* (*βίου*). Pol. X. 604. E: *τὸ ... φρόνιμόν τε καὶ ἡσύχιον ἦθος ... οὔτε ῥᾴδιον μιμήσασθαι* cet. Charm. 160. C: *αἱ ἡσύχιοι πράξεις.* D: *καλὰ ... οὐχ ἧττον τὰ ταχέα τῶν ἡσυχίων πέφανται.* 159. B: *τοὺς ἡσυχίους σώφρονας εἶναι.*

ἡσυχιότης, ἡ, *lentitudo* (vern. *Bedachtsamkeit*). Charm. 159. B: *καί μοι δοκεῖ ... συλλήβδην ἡσυχιότης τις εἶναι ὃ ἐρωτᾷς.* D: *οὐ τοίνυν κατά γε τὸ σῶμα ἡ ἡσυχιότης ἄν, ἀλλ' ἡ ταχυτὴς σωφρονέστερον εἴη.* 160. B. Ib. *τὰ τῆς βραδυτῆτός τε καὶ ἡσυχιότητος.*

ἡσυχίως, *sedate, placide.* Theaet. 179. E: *ἡσυχίως ἐν μέρει ἀποκρίνασθαι καὶ ἐρέσθαι.*

ἥσυχος, ὁ ἡ, i. q. *ἡσύχιος.* Polit. 307. E: *οἱ ... διαφερόντως ὄντες κόσμιοι τὸν ἥσυχον ἀεὶ βίον ἕτοιμοι ζῆν.* 264. B: *οὐχ ἡσύχους εὖ διαιροῦντας ἠνυκέναι βραδύτερον.* Phil. 24. C: *ἀεὶ σφοδρότερον ἡσυχαιτέρου ... ἑκάσταις πράξεσιν ἐμποιοῦντε.* Charm. 160. A: *οὐχ ὁ ἡσυχώτατος ... καὶ μόγις βουλευόμενός τε καὶ ἀνευρίσκων ἐπαίνου δοκεῖ ἄξιος εἶναι, ἀλλ' ὁ ῥᾷστά τε καὶ τάχιστα τοῦτο δρῶν.*

ἡσύχως, *modice.* Eryx. 405. E: *εἰ ὁ μὲν τυγχάνοι σφόδρα τε καὶ πολλῶν ἐν ἐπιθυμίᾳ τε καὶ δεήσει ὤν, ὁ δὲ ὀλίγων τε καὶ ἡσύχως.* Charm. 160. A: *οὐχ ὡς ἡσυχαίτατα, ἀλλ' ὡς τάχιστα.*

ἤτοι, *aut certe* (vern. *oder doch*). Pol. I. 344. E: *ἔοικας, ἦν δ' ἐγώ· ἤτοι ἡμῶν γε οὐδὲν κήδεσθαι* cet. III. 400. C: *ἤτοι ξυναμφότερόν τι.* IV. 433. A: *τοῦτό ἐστιν ... ἤτοι τούτου τι εἶδος ἡ δικαιοσύνη.* — Sq. *ἤ* est *aut - aut, sive - sive.* Prot. 339. D: *ὥστε ἤτοι τὸ πρότερον ἢ ὕστερον οὐκ ὀρθῶς λέγει.* Phaedr. 242. B: *ἤτοι αὐτὸν λέγοντα ἢ ἄλλους ... προσαναγκάζοντα.* Gorg. 460. A: *ἤτοι πρότερόν γε ἢ ὕστερον μαθόντα παρὰ σοῦ.* 467. E: *ὃ οὐχὶ ἤτοι ἀγαθόν γ' ἐστὶν ἢ κακὸν ἢ μεταξὺ τούτων.* 475. A: *ἤτοι ἡδονῇ ἢ*

ὠφελείᾳ ἢ ἀμφοτέροις. 478. B. Phaed. 68. C: *ἤτοι τὰ ἕτερα τούτων ἢ καὶ ἀμφότερα.* Parm. 131. A. Pol. I. 330. E. IV. 437. C. V. 453. D. Legg. X. 898. C. Apol. 27. C. Men. 85. D.

ἦτορ, τό, cor, animus. Pol. III. 388. C. (Hom.).

ἠτρίον, τό, textum (rarum atque tenue). Phaedr. 268. A: *εἰ ἄρα καὶ σοὶ φαίνεται διεστηκὸς αὐτῶν τὸ ἠτρίον.*

ἦτρον, τό, venter. Phaed. 118. A: *τὰ περὶ τὸ ἦτρον.*

ἧττα, ἡ, clades. Lach. 196. A: *εἴτε νίκη εἴθ' ἧττα ἢ πολέμου ἢ καὶ ἄλλης τινὸς ἀγωνίας.* Menex. 247. A: *ἡ δὲ ἧττα, ἐὰν ἡττώμεθα, εὐδαιμονίαν* (*ἡμῖν φέρει*). Pol. III. 386. B: *οἴει τινὰ ... ἐν ταῖς μάχαις αἱρήσεσθαι πρὸ ἥττης τε καὶ δουλείας θάνατον;* Legg. I. 638. A: *νίκην τε καὶ ἧτταν λέγοντες μάχης.* B: *νίκας ... καὶ ἥττας.* — C. genit. est etiam Lat. *succumbere* vel *indulgere.* Legg. I. 648. E: *τὴν πάντων ἧτταν φοβούμενος ἀνθρώπων τοῦ πώματος.* IX. 869. E: *δι' ἥττας ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ φθόνων.* X. 902. A: *διά τινας ἥττας ἡδονῶν ἢ λυπῶν.*

ἧττον, minus. Prot. 356. A: *καὶ μᾶλλον καὶ ἧττον.* Phil. 24. A: *τὸ μᾶλλόν τε καὶ ἧττον.* Gorg. 524. B: *οὐ πολὺ ἧττον ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὐτοῦ.* Theaet. 179. E: *τὸ ... ἐπιμεῖναι τῷ λόγῳ ... ἧττον αὐτοῖς ἔνι ἢ τὸ μηδέν.* Phaed. 72. A: *οὐδὲν ἧττον ἢ* cet. 73. B: *οὐδὲν μέντ' ἂν ἧττον ἀκούοιμι νῦν σὺ πῇ ἐπεχείρησας λέγειν.* Theaet. 174. D: *οὐδὲν ἧττον τῶν νομέων.* Soph. 227. A: *οὐδὲν ἧττον οὐδέ τι μᾶλλον τυγχάνει μέλον.* Tim. 39. D. Polit. 275. C: *ζητητέοι ... οὐδὲν ἂν εἴησαν οὔθ' ἧττον οὔτε μᾶλλον.* 287. C: *τὸ δ' αἴτιον ... οὐχ ἧττον ἔσται καταφανές.* Conv. 177. B: *τοῦτο μὲν ἧττον καὶ θαυμαστόν.* Crat. 413. A: *ἐπειδὰν ... αὐτοὺς ἐπανερωτῶ ἀκούσας τοῦτο μηδὲν ἧττον* (*nihilo minus*). 432. E: *μηδὲν ἧττον ὀνομάζεσθαι τὸ πρᾶγμα.* Pol. I. 336. C: *ἧττόν τι αὐτὸν οἴει ἀποκρινεῖσθαι τὸ φαινόμενον ἑαυτῷ —;* Cum genit. Phaedr. 237. B: *ὃς οὐδενὸς ἧττον ἐρῶν ἐπεπείκει τὸν παῖδα ὡς οὐκ ἐρῴη.* Tim. 48. D: *πειράσομαι μηδενὸς ἧττον εἰκότα ... λέγειν.* Men. 85. C: *οἶσθ' ὅτι τελευτῶν οὐδενὸς ἧττον ἀκριβῶς ἐπιστήσεται περὶ τούτων.*

ἡττῶμαι, superor vel *vincor*; hinc *succumbo, cedo* vel *resistere nequeo*; etiam *convincor, causa cado.* Phil. 12. A: *ἡ δὲ* (*ἡδονὴ*) *ἡττᾶται.* Pol. VIII. 555. A. Charm. 175. B: *νῦν δὲ πανταχῇ γὰρ ἡττώμεθα.* Phil. 11. D: *μῶν οὐκ ... ἡττώμεθα ... τοῦ ταῦτ' ἔχοντος βεβαίως βίου —;* Legg. XII. 955. B: *ἐάν τε ἡττᾶται ἀγωνιζόμενος ἐάν τε καὶ νικᾷ.* Menex. 247. A: *ἐὰν ἡττώμεθα.* Legg. I. 627. B: *ὅπου δ' ἂν ἡττῶνται.* Prot. 353. A: *ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι.* Legg. I. 626. E: *τὸ ... ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ.* III. 685. E: *ἡττᾶσθαι δ' ὑπὸ τούτων ἐκείνους.* Eryx. 395. B: *δύναιτ' ἂν τοὺς ἀντιπαίζοντας ποιεῖν ἡττᾶσθαι οὕτως ὥστε* cet. Prot. 355. B: *ὑπὸ τούτων* (*τῶν ἡδονῶν*) *ἡττώμενος.* C. D.

Phaedr. 233. C: οὐχ ὑπ' ἔρωτος ἡττώμενος. Pol. V. 455. D: οὗ καὶ καταγελαστότατόν ἐστι πάντων ἡττώμενον (τὸ γυναικεῖον γένος). Tim. 48. A: δι' ἀνάγκης ἡττωμένης ὑπὸ πειθοῦς ἔμφρονος. Legg. VII. 822. B: τὸν ἡττώμενον. X. 904. B: νικῶσαν ἀρετήν, ἡττωμένην δὲ κακίαν. I. 635. D: ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων. Prot. 352. D: ὑπὸ ἡδονῆς ... ἡττωμένους ἢ λυπῆς. Legg. VIII. 840. C. Euthyd. 300. D: ἀπώλωλέ τε καὶ ἥττηται. Ep. VII. 351. A: ὑπὸ δειλίας τῆς πρὸς τὰς ἡδονὰς ἡττημένος. Legg. I. 650. A: ἢ πρὸς τἀφροδίσια ἡττημένης τινὸς ψυχῆς βάσανον λαμβάνειν. Conv. 216. B: ἡττημένῳ τῆς τιμῆς τῆς ὑπὸ τῶν πολλῶν. Soph. 239. B: ἡττημένον (ἐμὲ) ἂν εὕροι περὶ τὸν τοῦ μὴ ὄντος ἔλεγχον. Phaed. 89. A: ὥσπερ πεφευγότας καὶ ἡττημένους. Ep. VII. 333. D: διαμαχόμενος δὲ τοῖς διαβάλλουσιν ἡττήθην. Theaet. 148. C: εἶτα διαθέων τοῦ ἀκμάζοντος ... ἡττήθης. Menex. 243. D: ἡμεῖς δὲ ἡμᾶς αὐτοὺς καὶ ἐνικήσαμεν καὶ ἡττήθημεν. Legg. XI. 936. E: ἐὰν δὲ ἡττηθῇ. XII. 956. B: ἂν ἡττηθῇ τὸ δεύτερον. D. Phil. 62. C: ἡττηθείς. Legg. IX. 868. A. 880. C: ὁ ... τὴν τοιαύτην δίκην ἡττηθείς. XII. 956. D. Polit. 305. C: μήθ' ὑπό τινος ἄλλης ἔχθρας μηδὲ φιλίας ἡττηθεῖσα. Legg. XI. 926. D: τῷ ... ἡττηθέντι. VIII. 843. B: ἀποτίνειν τὸν ἡττηθέντα. Lys. 223. B: ἡττηθέντες ... αὐτῶν. Legg. IV. 715. A: τοῖς ἡττηθεῖσι. Ep. VII. 337. A.

ἥττων, ὁ ἡ, *minor; inferior; imbecillior; deterior; succumbens, cedens, deditus.* Prot. 316. D: οὐδενὸς ἥττων σοφιστής. Pol. IV. 430. A: ὁ γὰρ ἑαυτοῦ κρείττων καὶ ἥττων δήπου ἂν αὑτοῦ εἴη καὶ ὁ ἥττων κρείττων. Legg. I. 626. E: ἐπειδὴ ... εἷς ἕκαστος ἡμῶν ὁ μὲν κρείττων αὑτοῦ, ὁ δὲ ἥττων ἐστί. IX. 863. D. Men. 75. C: ὅτι εἰμὶ ἥττων τῶν καλῶν. Euthyd. 297. B. Legg. I. 627. C: ὅτι ... ἡ ξυγγένεια αὕτη πᾶσα ἥττων αὑτῆς λέγοιτ' ἄν. Tim. 57. A: ἕως δ' ἂν ... ἧττον ὂν κρείττονι μάχηται. Gorg. 483. D: τὸν κρείττω τοῦ ἥττονος ἄρχειν. Pol. I. 342. C: τὸ τοῦ ἥττονός τε καὶ ἀρχομένου ὑφ' ἑαυτῆς (ξυμφέρον σκοπεῖ). 346. E. Menex. 244. E: ὡς ... τοῦ ἥττονος θεραπίς (ἐστι). Pol. I. 340. B: τοῦτο ποιητέον εἶναι τῷ ἥττονι. 341. B. Prot. 353. C: ἥττω εἶναι τῶν ἡδονῶν. 354. E. 358. C: τὸ ἥττω εἶναι αὑτοῦ. Pol. IV. 431. B. Phaedr. 239. A: ἥττω δὲ καὶ ὑποδεέστερον ἀεὶ ἀπεργάζεται. Legg. I. 633. E: τὸν τῶν λυπῶν ἥττω. Ib. τοῦτον τὸν ἐπονειδίστως ἥττονα ἑαυτοῦ. 645. B. Apol. 18. B: τὸν ἥττω λόγον κρείττω ποιεῖν. Alc. I. 104. E: πρὸς ἄνδρα οὐχ ἥττονα ἐραστῶν. Legg. I. 627. A: τὸ κρείττω τε αὑτῆς εἶναι λέγεις τινά (πόλιν), τὴν δ' ἥττω; 633. D. Euthyd. 306. C: ἀμφοτέρων ἥττους εἰσὶ πρὸς ἑκάτερον. Conv. 197. C: εἰ δὲ ἥττους (ἡδοναί), κρατοῖντ' ἂν ὑπ' Ἔρωτος. Legg. V. 726. A: τὰ δ' ἥττω καὶ χείρω δοῦλα. Gorg. 484. C: τὰ τῶν χειρόνων τε καὶ ἡττόνων. Pol. I. 338. D:

ἡμῖν τοῖς ἥττοσιν ἐκείνου. 339. E. Tim. 77. A: *οἱ κρείττους τοῖς ἥττοσιν ἡμῖν.* Pol. I. 340. B: *τοὺς ἥττους τε καὶ ἀρχομένους.* Legg. VIII. 841. B: *οὓς ἥττους αὑτῶν προςαγορεύομεν.* De lucri cup. 225. A: *ἥττους τοῦ κέρδους.* Ep. VII. 337. C: *ἂν ... οἱ νενικηκότες ἥττους αὑτοὺς τῶν νόμων μᾶλλον τῶν νενικημένων παρέχωνται.*

ἠΰτε, *sicut.* Pol. III. 386. E. (Hom.).

ἠχή, *ἡ*, *sonus.* Crit. 54. D: *καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ.* Tim. 37. B: *ἄνευ φθόγγου καὶ ἠχῆς.* Pol. VII. 531. A: *οἱ μέν φασιν ἔτι κατακούειν ἐν μέσῳ τινὰ ἠχήν.*

ἠχώ, *ἡ*, *echo.* Phaedr. 255. C: *οἷον πνεῦμα ἤ τις ἠχὼ ἀπὸ λείων τε καὶ στερεῶν ἁλλομένη πάλιν ὅθεν ὡρμήθη φέρεται.* Pol. VII. 515. B: *εἰ καὶ ἠχὼ τὸ δεσμωτήριον ἐκ τοῦ καταντικρὺ ἔχοι.*

ἠχῶ, *sono.* Prot. 329. A: *ὥσπερ τὰ χαλκεῖα πληγέντα μακρὸν ἠχεῖ καὶ ἀποτείνει.*

ἠώς, *ἡ*, *diluculum.* Def. 411. A: *ἀπ' ἠοῦς μέχρι δείλης.* Hipp. min. 371. B: *ἅμα τῇ ἠοῖ ἀποπλευσεῖσθαι.*

Θ.

θῆτα, *τό.* Theaet. 207. E: *ὅταν ... Θεαίτητον γράφων τις θῆτα καὶ εἶ οἴηταί τε δεῖν γράφειν καὶ γράψῃ.*

θᾶκος, *ὁ*, *sedes.* Polit. 288. A: *θᾶκος* (v. *θάκος*) *ἀεί τινι γιγνόμενον.* Pol. VII. 516. E: *εἰ πάλιν ὁ τοιοῦτος καταβὰς εἰς τὸν αὐτὸν θᾶκον* (v. *θῶκον*, al. *θάκον*) *καθίζοιτο.*

θάλαττα, *ἡ*, *mare* (praec. *mediterraneum*). Pol. II. 363. C: *θάλασσα* (Hom.). Phaed. 113. A: *λίμνην ... μείζω τῆς παρ' ἡμῖν θαλάττης.* Soph. 234. A: *θαλάττης καὶ γῆς* cet. Polit. 298. D: *ἀνέμων καὶ θαλάττης πέρι.* Pol. I. 332. E: *πρὸς τὸν τῆς θαλάττης κίνδυνον.* Tim. 25. D: *κατὰ τῆς θαλάσσης* (codd. aliquot *θαλάττης*) *δῦσα.* Critia 110. E: *πρὸς θαλάττης* (v. *θαλάττῃ*). 113. C: *πρὸς θαλάττης* (v. *θαλάττῃ*) ... *πεδίον ἦν.* 118. A: *ἀπότομος ἐκ θαλάττης.* Menex. 239. E: *τῆς τε θαλάττης ἐκράτει καὶ τῶν νήσων.* Euthyd. 279. E: *πρὸς τοὺς τῆς θαλάττης* (v. *θαλάσσης*) *κινδύνους.* Pol. I. 346. B: *πλεῖν ἐν τῇ θαλάττῃ·* III. 404. C. VII. 529. C. Tim. 22. D: *τῶν ποταμοῖς καὶ θαλάττῃ προςοικούντων.* Legg. III. 677. C: *πόλεις ... πρὸς θαλάττῃ κατοικούσας.* 682. C. Hipp. mai. 295. D: *τά ὀχήματα τά τε πεζὰ καὶ τὰ ἐν τῇ θαλάττῃ.* Ion. 540. B. Gorg. 511. E: *παρὰ τὴν θάλατταν ... περιπατεῖ.* Phaed. 109. B: *περὶ τὴν θάλατταν οἰκοῦντας* (*ἡμᾶς*). 111. A. Soph. 222. A. Polit. 289. E: *κατὰ θάλατταν* (*mari*) *καὶ πεζῇ.* Pol. II. 371.

A: *ἐὰν ... κατὰ θάλατταν ἡ ἐμπορία γίγνηται.* B: *τῶν ἐπιστημόνων τῆς περὶ τὴν θάλατταν* (edd. c. codd. aliquot *θάλασσαν*) *ἐργασίας.* III. 396. E: *θάλατταν κτυποῦσαν.* Tim. 22. E: *εἰς τὴν θάλατταν φέρονται.* Legg. III. 682. C. XII. 944. B. 952. E. Menex. 240. B: *ἐκ θαλάττης εἰς θάλατταν διαστάντες.* 241. A: *κατά τε γῆν καὶ κατὰ θάλατταν.* (Id. Alc. II. 148. D.). 245. B: *τῷ κατὰ θάλατταν πολέμῳ ἀπαγορεύοντας.* Phaed. 112. C: *θαλάττας τε καὶ λίμνας ... ποιεῖ.*

θαλάττιος, *α, ον, marinus.* Men. 80. A: *ὁμοιότατος ... ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ.* Pol. X. 611. C: *οἱ τὸν θαλάττιον Γλαῦκον ὁρῶντες.* Phil. 21. C: *τῶν ὅσα θαλάττια μετ' ὀστρεΐνων ἔμψυχά ἐστι σωμάτων.* Euthyd. 298. D: *τῶν ἐχίνων ... τῶν θαλαττίων.*

θάλεια, *ἡ, convivium.* Pol. IX. 573. D: *ἑορταὶ ... καὶ κῶμοι καὶ θάλειαι* (sic Par. A. c. al. Vulgo *θαλίαι*).

θαλλός, *ὁ, frutex.* Phaedr. 230. D: *θαλλὸν ἤ τινα καρπὸν προσείοντες.* Praec. *frutex* vel *termes oleae.* Legg. XII. 943. C: *στέφανον δὲ τὸ νικητήριον ἑκάστοις εἶναι θαλλοῦ.* 946. B: *στεφανῶσαι θαλλῷ.*

θάλλω, *vireo, pullulo.* Crat. 414. A: *αὐτό γε τὸ θάλλειν τὴν αὔξην μοι δοκεῖ ἀπεικάζειν τῶν νέων.* Phaedr. 264. D: *τεθήλῃ* (epigr.). Crat. 414. A: *ὅτι τεθηλέναι ποιεῖ, ὥσπερ τὰ ἀρδόμενα.* Trop. *vigeo, floreo.* Conv. 203. E: *τοτὲ μὲν ... θάλλει καὶ ζῇ* cet. Legg. XII. 945. D: *ἡ πᾶσα οὕτω θάλλει τε καὶ εὐδαιμονεῖ χώρα καὶ πόλις.* Ep. V. 321. E. Tim. 77. D: *ἵνα οὗτος ... ὅτι μάλιστα θάλλοι.*

θάλπος, *τό, aestus.* Ax. 371. D: *οὔτε θάλπος ἐγγίγνεται.* 366. D: *ἢ περιψυγμὸν ἢ θάλπος ... ὀδυνᾶται.* 368. C.

θαμά, *crebro, saepius.* Prot. 309. B: *ἐπελανθανόμην ... αὐτοῦ θαμά.* Phaed. 72. E: *ὃν σὺ εἴωθας θαμὰ λέγειν.* 89. E: *θαμὰ προσκρούων.* Parm. 130. A: *θαμὰ εἰς ἀλλήλους βλέποντας.* Crat. 428. D. Pol. I. 330. E: *θαμὰ ἐγειρόμενος δειμαίνει.* Lys. 204. C. al.

θάμβος, *τό, horror.* Phaedr. 254. C: *ὑπ' αἰσχύνης τε καὶ θάμβους.*

θαμίζω, *frequento, ventito.* Hipp. mai. 281. B: *διὸ δὴ ... οὐ θαμίζω εἰς τούσδε τοὺς τόπους.* Pol. I. 328. C: *οὐδὲ θαμίζεις ἡμῖν καταβαίνων εἰς τὸν Πειραιᾶ.* Etiam in re ponitur *frequente*, h. e. *quae saepius obvenit* vel *repetitur.* Legg. VIII. 843. B: *βλάβαι πολλαὶ καὶ σμικραὶ γειτόνων γιγνόμεναι, διὰ τὸ θαμίζειν ἔχθρας ὄγκον μέγαν ἐντίκτουσαι, χαλεπὴν ... γειτονίαν ἀπεργάζονται.*

θάμνος, *ὁ, fruticetum* vel *frutices densi.* Pol. IV. 432. B: *θαμνὸν κύκλῳ περιίστασθαι.*

θανάσιμος, *ὁ ἡ, letalis* s. *mortem afferens.* Pol. X. 610. E: *τοῦ θανάσιμος εἶναι.* D: *εἰ θανάσιμον ἔσται* (*ἡ ἀδικία*) *τῷ λαμβάνοντι.* Legg. XI. 933. D: *βλάβῃ μὴ θανασίμῳ.*

Pol. III. 406. B: *παρακολουθῶν ... τῷ νοσήματι θανασίμῳ ὄντι.* X. 610. C: *τὴν ἀδικίαν εἶναι θανάσιμον τῷ ἔχοντι, ὥσπερ νόσον.* Legg. XI. 932. E: *τὰ ... θανάσιμα.* Etiam in eo dicitur *qui prope abest a morte.* Pol. III. 408. C: *πλούσιον ἄνδρα θανάσιμον ἤδη ὄντα ἰάσασθαι.*

θανατηφόρος, ὁ ἡ, mortifer. Pol. X. 617. D: *ἀρχὴ ἄλλης περιόδου θνητοῦ γένους θανατηφόρου.*

θάνατος, ὁ, mors; etiam *caedes, occisio.* Prot. 325. B: *ἐφ' οἷς οὐκ ἔστι θάνατος ἡ ζημία.* Gorg. 524. B: *ὁ θάνατος ... δυοῖν πραγμάτων διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν.* Phaed. 67. D: *οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος;* 91. D: (*μὴ*) *ἢ αὐτὸ τοῦτο θάνατος, ψυχῆς ὄλεθρος.* 106. B: *ὅταν θάνατος ἐπ' αὐτὴν* (*τὴν ψυχὴν*) *ἴῃ.* 107. C: *εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή* cet. Tim. 81. E. Ax. 369. B: *ὅτι ὁ θάνατος οὔτε περὶ τοὺς ζῶντάς ἐστιν οὔτε περὶ τοὺς μετηλλαχότας.* Gorg. 511. C: *σώζει ... ἐκ θανάτου τοὺς ἀνθρώπους.* Phaed. 64. B: *οἵου θανάτου* (*ἄξιοί εἰσι*). 71. E: *περὶ ζωῆς καὶ θανάτου.* 77. D: *ἐκ θανάτου καὶ τοῦ τεθνάναι.* 85. A: *διὰ τὸ αὐτῶν δέος τοῦ θανάτου.* 106. E: *ἐπιόντος θανάτου ἐπὶ τὸν ἄνθρωπον.* Theaet. 142. C: *ὀλίγον πρὸ τοῦ θανάτου.* Pol. II. 361. C: *μέχρι θανάτου.* VIII. 558. A. Tim. 41. B: *οὐδὲ τεύξεσθε θανάτου μοίρας.* Critia 120. D: *θανάτου* (*necis*) ... *τὸν βασιλέα τῶν ξυγγενῶν μηδενὸς εἶναι κύριον.* Ep. VIII. 356. D. E. Phaed. 58. E: *ὡς θανάτῳ παρόντα ... ἀνδρὸς ἐπιτηδείου.* Pol. VIII. 566. B: *βιαίῳ ... θανάτῳ ἐπιβουλεύουσιν ἀποκτιννύναι λάθρα.* C: *θανάτῳ δίδοται.* Legg. IX. 871. D: *ὁ δὲ ὄφλων θανάτῳ ζημιούσθω.* Phaed. 68. D: *οἶσθα ... ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄνθρωποι τῶν μεγίστων* (al. *μεγάλων*) *κακῶν εἶναι.* Ib. *ὑπομένουσι τὸν θάνατον.* 85. A: *θρηνοῦντας τὸν θάνατον.* 88. B: *θάνατον θαῤῥοῦντι.* Conv. 179. D: *ἐποίησαν τὸν θάνατον αὐτοῦ ὑπὸ γυναικῶν γενέσθαι.* Pol. III. 386. A: *οἷα αὐτοὺς ποιῆσαι ἥκιστα τὸν θάνατον δεδιέναι.* 406. B: *μακρὸν ... τὸν θάνατον αὐτῷ ποιήσας.* X. 620. A: *διὰ τὸν ὑπ' ἐκείνων θάνατον.* Legg. V. 735. E: *θάνατον ἢ φυγὴν τῇ τιμωρίᾳ τὸ τέλος ἐπιτιθείς.* IX. 863. A. al. Legg. X. 908. E: *οὐχ ἑνὸς οὐδὲ δυοῖν ἄξια θανάτοιν ἁμαρτάνον.* Theaet. 176. D: *πληγαί τε καὶ θάνατοι.* Phaed. 88. A: *τελευτῶσάν γε ἔν τινι τῶν θανάτων.* Pol. X. 615. B: *οἵτινες πολλῶν θανάτων ἦσαν αἴτιοι.* Tim. 81. E: *ἀπονώτατος τῶν θανάτων.* Legg. VI. 778. D: *ὅσα θανάτων ἄξια ἀδικήματα.* Ax. 368. D: *θανάτων μυρίων χείρω.* Ep. VII. 327. D. 351. C: *οὔτι δι' ὀλιγίστων θανάτων καὶ φυγῶν γιγνομένην.* Pol. VI. 492. D: *ὅτι τὸν μὴ πειθόμενον ἀτιμίαις ... καὶ θανάτοις κολάζουσι.* Legg. X. 904. E: *ἔν τε ζωῇ καὶ ἐν πᾶσι θανάτοις.* Pol. III. 399. A: *εἰς τραύματα ἢ εἰς θανάτους ἰόντος.* Legg. III. 682. D: *ὥστε*

θανάτους τε καὶ σφαγὰς καὶ φυγὰς γενέσθαι παμπόλλας. Crit. 46. C: *δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα* (*ἡ τῶν πολλῶν δύναμις*). Alc. I. 112. C. 115. B.

θανατῶ (*άω*), *mori cupio.* Ax. 366. C: *ἐξ ἐκείνου θανατᾷ μου ἡ ψυχή.* Phaed. 64. B: *ὅτι τῷ ὄντι οἱ φιλοσοφοῦντες θανατῶσι.*

θανατῶ, (*όω*), *interficio.* Legg. IX. 872. C: *ὁ τῆς πόλεως κοινὸς δήμιος ... θανατωσάτω.* 868. C: *οἱ δὲ ... θανατωσάντων τὸν δράσαντα.* 865. D: *ὁ θανατωθεὶς ... βιαίως.* 862. C: *τὸ θανατωθὲν ἢ τρωθέν.*

θάπτω, *sepelio:* Phaed. 115. C: *θάπτωμεν δέ σε τίνα τρόπον;* E: *θάπτειν.* Legg. IV. 719. D. IX. 873. D. XII. 959. C. De lege 315. D: *ἔθαπτον ἐν τῇ οἰκίᾳ τοὺς ἀποθανόντας.* Hipp. mai. 293. A: *τοὺς ... γονέας θάψαι.* B: *θάψαντι τοὺς προγόνους.* Legg. IX. 871. D: *μὴ ἐν τῇ τοῦ παθόντος χώρᾳ θαπτέσθω.* Pol. X. 614. C: *μέλλων θάπτεσθαι.* Legg. XII. 959. C: *νομίζοντα τὸν αὐτοῦ τοῦτον εἶναι τὸν τῶν σαρκῶν ὄγκον θαπτόμενον.* Phaedr. 264. D: *τῇδε τέθαπται* (epigr.). Crat. 400. C: *ὡς τεθαμμένης* (*τῆς ψυχῆς*) *ἐν τῷ νῦν παρόντι.* Hipp. mai. 291. E: *καλῶς καὶ μεγαλοπρεπῶς ταφῆναι.* 292. E. 293. A: *ὑπὸ ... τῶν ἐκγόνων ταφῆναι.* B.

θαῤῥαλέος, *α*, *ον*, *fidens*; *audens.* Legg. II. 671. C: *τὸν εὔελπιν καὶ θαῤῥαλέον ἐκεῖνον γιγνόμενον.* Phil. 32. C: *τίθει ... τὸ μὲν πρὸ τῶν ἡδέων ἐλπιζόμενον ἡδὺ καὶ θαῤῥαλέον.* Prot. 350. A: *τίνες ... ἀπὸ τῶν ἵππων πολεμεῖν θαῤῥαλέοι εἰσί;* C. Legg. I. 649. C: *θαῤῥαλέοι ... καὶ θρασεῖς.* Prot. 349. E: *πότερον τοὺς ἀνδρείους θαῤῥαλέους λέγεις, ἢ ἄλλο τι;* 359. B. Lach. 182. C: *θαῤῥαλεώτερον καὶ ἀνδρειότερον.* Prot. 350. C: *θαῤῥαλεώτατοι.* In eo quoque ponitur quod quis *audere*, igitur *sine timore subire potest.* Pol. V. 450. E: *τἀληθῆ εἰδότα λέγειν ἀσφαλὲς καὶ θαῤῥαλέον.* Legg. XII. 959. B: *παρὰ θεοὺς ἄλλους ἀπιέναι δώσοντα λόγον ... τῷ μὲν ἀγαθῷ θαῤῥαλέον, τῷ δὲ κακῷ μάλα φοβερόν.* Lach. 194. E: *τὴν τῶν δεινῶν καὶ θαῤῥαλέων ἐπιστήμην.* 196. D. 198. B. 199. B. Prot. 359. C: *πότερον οἱ μὲν δειλοὶ ἐπὶ τὰ θαῤῥαλέα ἔρχονται, οἱ δὲ ἀνδρεῖοι ἐπὶ τὰ δεινά;* Lach. 195. B: *τὰ ... δεινά τε καὶ θαῤῥαλέα.* E. 198. C: *θαῤῥαλέα* (*φαμὲν εἶναι*) *τὰ μὴ κακὰ ἢ ἀγαθὰ μέλλοντα.* 199. B. Def. 412. A: *περὶ τὰ δεινὰ καὶ θαρσαλέα.*

θαῤῥαλέως, *fidenter.* Apol. 34. E: *εἰ ... θαῤῥαλέως ἐγὼ ἔχω πρὸς θάνατον ἢ μή, ἄλλος λόγος.* Alc. I. 110. B: *μάλα μέγα καὶ θαῤῥ. λέγοντος.* Euthyd. 275. B: *ἀνδρείως τε καὶ θαῤῥαλέως ... ἔφη.* Men. 84. A: *θαῤῥ. ἀπεκρίνετο ὡς εἰδώς.*

θάῤῥος et *θάρσος*, *τό*, *fidentia*, *audacia*; *animus.* Legg. I. 644. C: *φόβος μὲν ἡ πρὸ λύπης ἐλπίς, θάῤῥος δὲ ἡ πρὸ τοῦ ἐναντίου.* 647. B: *θάῤῥος ... πολεμίων* (*adversus hostes*).

Men. 88. B: εἰ μὴ ἔστι φρόνησις ἡ ἀνδρεία, ἀλλ' οἷον θάῤῥος τι. Ax. 365. A. Def. 412. A: θάρσος πολεμικόν. C. Conv. 192. A: ὑπὸ θάῤῥους καὶ ἀνδρείας cet. Legg. II. 671. C: εἰσιόντι τῷ μὴ καλῷ θάῤῥει. Prot. 351. A: οὐ ταὐτὸν εἶναι θάρσος τε καὶ ἀνδρείαν. Phaed. 95. C: (εἰ) μὴ ἀνόητόν τε καὶ ἠλίθιον θάῤῥος (libri plures θάρσος) θαῤῥήσει. Tim. 69. D: θάῤῥος καὶ φόβον. Legg. I. 647. A. Ax. 371. E: τὸ θάρσος τῆς ἐκεῖσε πορείας ... ἐναύσασθαι. Prot. 360. B: οὐδὲ αἰσχρὰ θάῤῥη θαῤῥοῦσιν.

θαῤῥῶ, *confido; bono* vel *securo sum animo; bene spero; non metuo* (c. accus.). Conv. 193. E: νῦν δὲ ὅμως θαῤῥῶ. Pol. IX. 574. B: οὐ πάνυ ... ἔγωγε θαῤῥῶ περὶ τῶν γονέων τοῦ τοιούτου. Critia 108. C: ἐπίπροσθεν ἔχων ἄλλον ἔτι θαῤῥεῖς. Euthyd. 275. C: ὥστε ἐπιεικῶς θαῤῥεῖ (v. θάῤῥει) τὸ ἀποκρίνασθαι. Prot. 359. D: ἐπὶ ἅ γε θαῤῥοῦσι πάντες αὖ ἔρχονται. 360. B. Phaedr. 239. D: τὸ ... τοιαῦτον σῶμα ... οἱ ἐχθροὶ θαῤῥοῦσιν. Men. 88. B: ὅταν ... ἄνευ νοῦ θαῤῥῇ ἄνθρωπος. Prot. 314. E: ἀλλὰ θάῤῥει· Πρωταγόραν γάρ τοι δεόμενοι ἰδεῖν ἤλθομεν. Theaet. 148. C: θάῤῥει τοίνυν περὶ σαυτῷ. Euthyd. 275. D: θάῤῥει ... καὶ ἀπόκριναι ἀνδρείως. Lach. 197. C. Menex. 249. E: θάῤῥει, οὐ κατερῶ. Ep. VII. 349. B. Imper. etiam ita interponitur ut cum verbo seq. in unam fere orationem coalescat. Prot. 311. A: ὥστε θάῤῥει (v. ὥστε, θάῤῥει,) καταληψόμεθα αὐτὸν ... ἔνδον. Phaed. 63. E: θαῤῥεῖν μέλλων ἀποθανεῖσθαι. 78. B: θαῤῥεῖν ἢ δεδιέναι ὑπὲρ τῆς ἡμετέρας ψυχῆς. 87. E. 88. B. 114. D. Soph. 261. B. Conv. 221. A. Legg. I. 649. A: τοῦ λίαν θαῤῥεῖν καὶ ἀκαίρως. al. Phaed. 95. C: θαῤῥῶν τε καὶ ἡγούμενος cet. Partic. plerumque ita ponitur ut exprimi possit voce *fidenter* (vern. *getrost* vel *keck*). Phaedr. 243. E: λέγε τοίνυν θαῤῥῶν. Gorg. 527. D: θαῤῥῶν πατάξαι (ἔασον) τὴν ἄτιμον ταύτην πληγήν. Theaet. 145. C: θαῤῥῶν ἔμμενε τῇ ὁμολογίᾳ. 157. D. Soph. 242. B: θαῤῥῶν ἴθι τούτου γε ἕνεκα. Crat. 426. B. 428. A. Pol. I. 352. B. Legg. I. 642. D. Charm. 166. D: θαῤῥῶν ... ἀποκρινόμενος τὸ ἐρωτώμενον cet. Euthyd. 307. C. Phaed. 88. B: θάνατον θαῤῥοῦντι. Soph. 258. B: δεῖ θαῤῥοῦντα ἤδη λέγειν. Legg. II. 657. A. B. VII. 810. E. Epin. 987. A. Men. 86. B. Legg. X. 897. A: θαῤῥοῦσαν, φοβουμένην cet. Phil. 57. D: θαῤῥοῦντες ἀποκρινώμεθα τοῖς δεινοῖς περὶ λόγων ὁλκήν. Pol. I. 376. B. IX. 586. D. Legg. II. 657. C: ἆρ' οὖν θαῤῥοῦντες λέγομεν —; Prot. 350. B: θαῤῥοῦντας ... πρὸς ἕκαστα τούτων. Ib. λίαν γε θαῤῥοῦντας. Theaet. 189. D: ἵνα μὴ μάτην θαῤῥήσῃς. Pol. V. 451. B: ἀλλὰ θαῤῥήσας λέγε. Legg. VII. 797. A: ὅμως ... θαῤῥήσας οὐκ ἀποστήσομαι. Pol. VIII. 566. B: θαῤῥήσαντες ... ὑπὲρ ἑαυτῶν. Phaed. 95. C: (εἰ) μὴ ἀνόητον ... θάῤῥος θαῤῥήσει. Legg. I. 649. B: ὅπως ὅτι μάλιστα θαῤῥήσομεν.

θἄτερον (τὸ ἕτερον), *alterum;* etiam *aliud, diversum* (sensu philosopho vern. *das Differente*). Soph. 250. E: *καθάπερ ἂν αὐτῶν θἄτερον ... ἀναφαίνηται, καὶ θἄτερον οὕτως ἀναφαίνεσθαι.* 255. A: *περὶ ... ἀμφότερα θἄτερον ὁποτερονοῦν γιγνόμενον αὐτοῖν ἀναγκάζει μεταβάλλειν αὖ θἄτερον ἐπὶ τοὐναντίον τῆς αὑτοῦ φύσεως.* C: *τὸ θἄτερον ... ἡμῖν λεκτέον πέμπτον.* E: *διὰ τὸ μετέχειν τῆς ἰδέας τῆς θατέρου.* 257. C: *ἡ θατέρου ... φύσις.* 258. D: *τὴν ... θατέρου φύσιν ἀποδείξαντες οὖσαν.* Tim. 35. A: *τῆς τε ταὐτοῦ φύσεως ... πέρι καὶ τῆς θατέρου.* B. 36. C. 37. A. B. 38. C: *ἡ θατέρου περίοδος.* 44. A: *τοῦ ταὐτοῦ γένους ἢ τοῦ θατέρου.* 62. E. al. Soph. 267. E: *θατέρῳ τοίνυν χρηστέον.* 252. B: *οἱ μηδὲν ἐῶντες κοινωνίᾳ παθήματος ἑτέρου θἄτερον προσαγορεύειν.* 254. E: *τί ... οὕτως εἰρήκαμεν τό τε ταὐτὸν καὶ θἄτερον.* 266. D: *κατὰ θἄτερον τμῆμα, κατὰ δὲ θἄτερον* cet. 258. A: *πρὸς τὸ μηδέν τι μᾶλλον εἶναι θἄτερον θατέρου.* Polit. 265. C: *τὸ μόριον θἄτερον ... ἐπιτετάχθαι, τὸ δὲ ἕτερον* cet. Tim. 44. A: *ταὐτόν τῳ καὶ θἄτερόν του τἀναντία τῶν ἀληθῶν προσαγορεύουσαι.* 46. C: *θἄτερον ἐπὶ θἄτερον.* Soph. 263. D: *περὶ ... σοῦ λεγόμενα ... θάτερα ὡς τὰ αὐτὰ καὶ μὴ ὄντα ὡς ὄντα* cet. Legg. I. 631. C: *ἤρτηται δ' ἐκ τῶν θείων θἄτερα.* IV. 719. C. 722. B: *οὐ διπλῷ θἄτερα τῶν ἑτέρων διάφορα μόνον εἰς ἀρετὴν τῆς χρείας.* Tim. 63. E: *τὰ δὲ τούτοις ἔχοντα ὡς ἑτέρως θἄτερα.* Soph. 227. B: *θἄτερα τῶν ἑτέρων ... οὐδὲν ἡγεῖται γελοιότερα.* Hinc *ἐπὶ θἄτερα, in alteram* (etiam *contrariam*) *partem, ex altera parte.* Theaet. 167. A: *μεταβλητέον δ' ἐπὶ θἄτερα.* Soph. 259. C: *τοτὲ μὲν ἐπὶ θἄτερα, τοτὲ δ' ἐπὶ θἄτερα τοὺς λόγους ἕλκων.* Phil. 15. E. Tim. 79. E: *ὅταν ... ἐπὶ θἄτερα ὁρμήσῃ, θἄτερα περιωθεῖ.* Critia 118. A: *ἐπὶ μὲν θἄτερα ... κατὰ δὲ μέσον.* Legg. VI. 771. C. VII. 795. C. Prot. 314. E: *ἐκ μὲν τοῦ ἐπὶ θἄτερα — ἐκ δὲ τοῦ ἐπὶ θἄτερα.* Vocem *θἄτερον* (*aliud* vel *contrarium*, int. atque conducit) Attici rem tristem nomine mitigantes etiam in *malo* usurpant. Euthyd. 280. E: *πλεῖον* (al. *πλέον*) *γάρ που ... θἄτερόν ἐστιν, ἐὰν τις χρῆται ... ἢ ἐὰν ἐᾷ.* Phaed. 114. E: *πλέον θἄτερον ἡγησάμενος ἀπεργάζεσθαι* (*magis obesse*, int. quam prodesse). **alterutrum.* Gorg. 475. A: *ὅταν ... δυοῖν καλοῖν θἄτερον κάλλιον ᾖ.* Phaed. 66. E. 76. A: *ὥστε ... δυοῖν θἄτερον, ἤτοι — ἤ.* Apol. 40. C: *δυοῖν ... θἄτερόν ἐστι τὸ τεθνάναι, ἢ — ἤ.* Legg. X. 904. B: *γένεσις γὰρ οὐκ ἄν ποτε ἦν ζώων ἀπολομένου τούτοιν θατέρου.* Soph. 243. E: *οὐ γάρ που* (v. *πω*) *τοῖν γε δυοῖν καλοῦντες θάτερον ὂν ἀμφότερα ὁμοίως εἶναι λέγετε.* Legg. IX. 854. D: *δυοῖν δὲ θἄτερον ἀπεργάζεται σχεδόν, ἢ — ἤ.* XII. 943. E: *ῥᾴδιον ... οὐδαμῶς διορίσαι τούτων θἄτερον.* Theaet. 187. B: *δυεῖν θἄτερα* (v. *θἄτερον*), *ἢ εὑρήσομεν — ἢ* cet. Phil. 43. E: *τὸ δὲ μηδέτερα τούτων ἔσθ' ἡμῖν ὅπως θἄτερα γένοιτ' ἄν,*

χρυσὸς ἢ ἄργυρος; Legg. VI. 765. D: *παίδων ... πατήρ, μάλιστα μὲν υἱέων καὶ θυγατέρων, εἰ δὲ μή, θἄτερα.* Epin. 984. A: *τούτων ἡμῖν θἄτερα θετέα.* Legg. VIII. 841. D: *τάχα δ' ἂν ... κἂν δυοῖν θἄτερα βιασαίμεθα περὶ ἐρωτικῶν, ἢ — ἤ.* Epin. 983. E: *δυοῖν τοι θἄτερα θετέον αὐτά, ἢ — ἤ.* Crit. 52. A: *ἐφιέντων δυεῖν θἄτερα, ἢ — ἤ.*

θᾶττον, *citius.* Theaet. 165. A: *ἡμεῖς ... θᾶττον ἐκ τῶν ψιλῶν λόγων πρὸς τὴν γεωμετρίαν ἀπενεύσαμεν.* 206. D: *θᾶττον ἢ σχολαίτερον.* Pol. X. 610. D. Tim. 39. A. (sq. *βραδύτερον*). Legg. IV. 711. C: *ἄλλῃ θᾶττον καὶ ῥᾶον μεταβάλλειν ἄν ποτε πόλιν τοὺς νόμους ἢ* cet. VI. 773. B: *θᾶττον τοῦ δέοντος πρὸς πάσας τὰς πράξεις φερόμενον.* Apol. 39. A: *θᾶττον γὰρ θανάτου θεῖ (πονηρία).* Ax. 364. C. — Cum coniunctt. *ἐπειδάν, ἐάν* et *εἰ* est *quum primum, simul atque.* Prot. 325. C: *ἐπειδὰν θᾶττον συνιῇ τις τὰ λεγόμενα.* Alc. I. 105. A: *ἐὰν θᾶττον* (*quum primum*) *εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς.* Ep. VII. 324. B: *εἰ θᾶττον ἐμαυτοῦ γενοίμην κύριος, ἐπὶ τὰ κοινὰ τῆς πόλεως εὐθὺς ἰέναι.*

θάττων (*τάχυς*), *celerior*; *alacrior*; etiam *brevior* (de via). Legg. IV. 710. B: *θάττων γὰρ ταύτης καὶ ἀμείνων πολιτείας διάθεσις οὔτ' ἔστιν οὔτ' ἄν ποτε γένοιτο.* Phaed. 71. A: *ἐκ βραδυτέρου τὸ θᾶττον.* Apol. 39. B: *ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες ὑπὸ τοῦ θάττονος, τῆς κακίας (ἑάλωσαν).* Polit. 265. A: *τὴν μὲν θάττω (ὁδὸν;* oppon. *μακροτέραν).* Phil. 25. C: *πρόςθες ... καὶ θᾶττον καὶ βραδύτερον.* Pol. IV. 438. C: *καὶ θάττω πρὸς βραδύτερα ... ἆρ' οὐχ οὕτως ἔχει;* Legg. VI. 773. C: *θάττους ... ἤθεσι πρὸς βραδυτέρους καὶ βραδυτέρους πρὸς θάττους ἀναγκάζειν τῇ τῶν γάμων κοινωνίᾳ πορεύεσθαι.* VII. 796. C: *θάττους τε καὶ βραδυτέρας ἐν ὀρχήσεσι καὶ ἐν πορείᾳ τὰς ἱκετείας ποιουμένους.*

θαῦμα, τό, *miraculum; praestigiae;* in univ. *quod mirum* vel *admirandum est.* Soph. 233. A: *τί ποτ' οὖν ἂν εἴη τὸ σοφιστικῆς δυνάμεως θαῦμα;* Pol. VI. 498. D: *τὸ ... μὴ .. πείθεσθαι τοῖς λεγομένοις τοὺς πολλοὺς θαῦμα οὐδέν.* Critia 113. B: *μηδὲν ὑμῖν ἔστω θαῦμα.* Legg. II. 656. D: *θαῦμα καὶ ἀκοῦσαι.* VII. 820. E: *θαῦμά γε περὶ ταῦτά ἐστι μέγα.* Epin. 988. D: *θαῦμα οὐδέν.* 990. D: *ὃ δὴ θαῦμα οὐκ ἀνθρώπινον, ἀλλὰ γεγονὸς θεῖον φανερὸν ἂν γίγνοιτο τῷ δυναμένῳ ξυννοεῖν.* Legg. I. 645. D: *προςφέροντες τῷ θαύματι τούτῳ τὴν μέθην ποῖόν τί ποτε αὐτὸ ἀπεργαζόμεθα;* X. 899. A: *δυνάμεις ... ὑπερβαλλούσας θαύματι.* I. 644. D: *θαῦμα ... ἕκαστον ἡμῶν ἡγησώμεθα τῶν ζώων θεῖον.* VII. 804. B: *θαύματα ὄντες τὸ πολύ.* I. 645. B: *περὶ θαυμάτων ὡς ὄντων ἡμῶν.* Pol. VII. 514. B: *ὑπὲρ ὧν τὰ θαύματα δεικνύασιν.* Legg. II. 658. B: *θαύματα ἐπιδεικνύς.* C: *τὸν τὰ θαύματα ἐπιδεικνύντα.* * *admiratio.* Phil. 36. D: *θαῦμα γάρ ἐμέ γ' ἔχει διὰ τέλους ἀεὶ περὶ τὰ αὐτὰ ... ἀπο-*

ρήματα. Conv. 221. C: *τοῦτο ἄξιον παντὸς θαύματος.* Legg. XII. 967. A: *θαύματα ... καὶ τότε ὑπεδύετο περὶ αὐτά.*

θαυμάζω, miror; admiror; etiam *dubito, non capio.* Gorg. 458. E: *ἃ θαυμάζω ἐν τοῖς λεγομένοις ὑπὸ σοῦ.* Phaed. 97. A: *θαυμάζω γὰρ εἰ ... ἓν ἄρ' ἑκάτερον ἦν.* Theaet. 161. B: *οἶσθ' οὖν ... ὃ θαυμάζω τοῦ ἑταίρου σου Πρωταγόρου;* Crat. 428. D: *θαυμάζω καὶ αὐτὸς πάλαι τὴν ἐμαυτοῦ σοφίαν.* Conv. 175. A: *ἀλλὰ θαυμάζω καὶ αὐτὸς ποῦ ἂν εἴη.* Legg. I. 628. E. Crit. 43. A: *θαυμάζω ὅπως* cet. B: *σοῦ πάλαι θαυμάζω αἰσθανόμενος ὡς ἡδέως καθεύδεις.* Prot. 326. E: *θαυμάζεις ... καὶ ἀπορεῖς εἰ διδακτόν ἐστιν ἀρετή;* Polit. 301. E: *θαυμάζομεν ... ὅσα ξυμβαίνει γίγνεσθαι κακά.* Conv. 180. B: *μᾶλλον ... θαυμάζουσι ... ὅταν* cet. Pol. VIII. 551. A. Conv. 205. B: *ἀλλὰ μὴ θαύμαζ', ἔφη.* 208. B: *μὴ οὖν θαύμαζε εἰ* cet. Legg. I. 637. C. Crit. 50. C: *μὴ θαύμαζε τὰ λεγόμενα.* Prot. 312. C: *θαυμάζοιμ' ἂν εἰ οἶσθα.* 315. E: *οὐκ ἂν θαυμάζοιμι εἰ παιδικὰ Παυσανίου τυγχάνει ὤν.* 336. C. Gorg. 452. B. Crat. 428. B. Apol. 24. A. Conv. 208. C: *θαυμάζοις ἄν.* Pol. IX. 584. E. Crit. 50. C: *εἰ ... αὐτῶν θαυμάζοιμεν λεγόντων.* Pol. X. 597. A: *μηδὲν ἄρα θαυμάζωμεν εἰ* cet. Critia 113. A: *μὴ ... θαυμάζητε.* Theaet. 155. D: *μάλα γὰρ φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν.* Conv. 189. A: *ὥστε με θαυμάζειν εἰ* cet. Pol. II. 360. A. VIII. 553. D. Alc. I. 103. A: *οἶμαί σε θαυμάζειν ὅτι* cet. Hipp. mai. 282. E: *ὥστε ἐκεῖνον ... θαυμάζειν τε καὶ ἐκπεπλῆχθαι.* Legg. I. 637. C: *θαυμάζοντι ξένῳ.* Pol. VI. 489. A: *ἐκεῖνον τὸν θαυμάζοντα ὅτι* cet. Conv. 220. C: *θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν ὅτι* cet. Phaed. 95. A: *πάνυ ἐθαύμαζον εἴ τι ἕξει τις χρήσασθαι τῷ λόγῳ αὐτοῦ.* Theaet. 142. A: *ἐθαύμαζον ὅτι οὐχ οἷός τ' ἦ εὑρεῖν.* Conv. 206. B: *οὐ μέντ' ἂν σὲ ... ἐθαύμαζον ἐπὶ σοφίᾳ.* Tim. 25. E. Phaedr. 258. B: *οὐχ ὡς ὑπερφρονοῦντες τοῦ ἐπιτηδεύματος, ἀλλ' ὡς τεθαυμακότες.* Prot. 329. B: *ὃ δ' ἐθαύμασά σου λέγοντος, τοῦτο* cet. Phaed. 89. A: *ἔγωγε μάλιστα ἐθαύμασα αὐτοῦ* (vern. *an ihm*) *πρῶτον μὲν τοῦτο ὡς* cet. Theaet. 142. C: *ἐθαύμασα Σωκράτους ὡς μαντικῶς* cet. Conv. 208. B. Pol. I. 348. E: *ἀλλὰ τόδε ἐθαύμασα εἰ* cet. Legg. VII. 819. D: *τὸ περὶ ταῦτα ἡμῶν πάθος ἐθαύμασα.* Apol. 17. A: *μάλιστα ... αὐτῶν ἓν ἐθαύμασα τῶν πολλῶν ὧν ἐψεύσαντο.* Epin. 986. C: *ὃν (λόγον) ὁ ... εὐδαίμων ... ἐθαύμασε.* Euthyd. 279. D. Pol. I. 337. C: *οὐκ ἂν θαυμάσαιμι ... εἴ μοι σκεψαμένῳ οὕτω δόξειε.* IX. 585. A. Tim. 26. B. Hipp. min. 364. A, Hipp. mai. 282. D: *θαυμάσαις ἄν.* Conv. 215. A: *ἐὰν ... λέγω, μηδὲν θαυμάσῃς.* Pol. VII. 517. C: *μὴ θαυμάσῃς ὅτι* cet. Tim. 29. C. Legg. VII. 804. B. VI. 781. D: *θαυμάσητε δὲ μηδὲν ἐὰν ὑμῖν ἄνωθέν ποθεν ἐπιχειρεῖν δόξω.* III. 693. B: *μὴ θαυμάσωμεν ... εἰ* cet. Pol. II. 376. A: *ὃ καὶ ἄξιον θαυμάσαι τοῦ θηρίου.* Tim. 23. D. Legg.

V. 739. A. Alc. I. 123. C. Phaedr. 257. C: *τὸν λόγον δέ σου πάλαι θαυμάσας ἔχω.* Riv. 132. B: *θαυμάσας αὐτοῦ τὴν ἀπόκρισιν.* Pol. II. 359. D: *ἰδόντα ... καὶ θαυμάσαντα.* Parm. 129. C: *τοῦτο ἤδη θαυμάσομαι.* Euth. 15. B: *θαυμάσει ... ταῦτα λέγων ἐὰν* cet. Pass. Tim. 24. D: *πολλὰ ὑμῶν ... ἔργα θαυμάζεται.* 80. C: *τὰ θαυμαζόμενα ἠλέκτρων περὶ τῆς ἕλξεως* cet. Men. 70. A: *ἐθαυμάζοντο ἐφ' ἱππικῇ τε καὶ πλούτῳ.* Verb. Polit. 302. A: *ἢ ἐκεῖνο ἡμῖν θαυμαστέον μᾶλλον ὡς ἰσχυρόν τι πόλις ἐστὶ φύσει;*

θαυμάσιος, α, ον, mirus, admirabilis, incredibilis (etiam in malam partem, ut vern. *wunderlich*, i. q. *seltsam, ungereimt*). Phaedr. 242. A: *θεῖός γ' εἶ περὶ τοὺς λόγους ... καὶ ἀτεχνῶς θαυμάσιος.* Gorg. 496. D: *δύναμίς τε καὶ τυραννὶς θαυμασία.* Euthyd. 288. B. Prot. 361. B: *θαυμάσιον ἔσται μὴ διδακτὸν ὄν.* Gorg. 496. A: *θαυμάσιον γὰρ ... καὶ ἄλογον γίγνεται.* Apol. 40. A: *ἐμοί ... θαυμάσιόν τι γέγονεν.* D: *θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος.* Gorg. 477. D: *κακῷ θαυμασίῳ ὑπερβάλλουσα τἄλλα.* Lys. 204. D: *ὅτι καὶ ᾄδει ... φωνῇ θαυμασίᾳ.* Conv. 177. B: *ἔπαινον θαυμάσιον ἔχοντες πρὸς ὠφέλειαν.* Hipp. min. 372. C: *ἓν ... τοῦτο θαυμάσιον ἔχω ἀγαθὸν ὅ με σώζει.* Conv. 216. C: *τὴν δύναμιν ὡς θαυμασίαν ἔχει.* Pol. X. 620. A. Crat. 391. D: *ἢ οὐκ οἴει αὐτὸν μέγα τι καὶ θαυμάσιον λέγειν* cet. Conv. 217. A: *ἐφρόνουν ... ἐπὶ τῇ ὥρᾳ θαυμάσιον ὅσον.* Theag. 130. A: *θαυμάσιον ἐπιδιδόασιν.* Phaedr. 230. C: *ὦ θαυμάσιε.* 257. C. Gorg. 470. A. 489. D. Crat. 439. C: *ὦ θαυμάσιε Κρατύλε.* Conv. 222. E. Legg. X. 897. C. Euthyd. 271. C: *θαυμάσι' ὦ* (al. *θαυμάσι', ὦ*) *Κρίτων.* al. (Est vero modo amica appellatio, modo admonitio, atque etiam lenis compellatio). Gorg. 518. B: *ὅτι οὗτοι θαυμάσιοι γεγόνασι σωμάτων θεραπευταί.* Theaet. 210. C: *ὅσοι μεγάλοι καὶ θαυμάσιοι ἄνδρες εἰσί τε καὶ γεγόνασι.* Euthyd. 305. B. Legg. I. 625. B: *κυπαρίττων ... ὕψη καὶ κάλλη θαυμάσια.* Euthyd. 283. A: *ὡς ... ἀκουσόμενοι θαυμασίους τινὰς λόγους.* Phaed. 58. D: *ἔγωγε θαυμάσια ἔπαθον παραγενόμενος.* Conv. 220. A: *θαυμάσια εἰργάζετο* cet. 221. C: *πολλὰ οὖν ἄν τις καὶ ἄλλα ἔχοι Σωκράτη ἐπαινέσαι καὶ θαυμάσια.* Pol. V. 474. A: *ὡς θαυμάσια ἐργασομένους.* Apol. 35. A: *θαυμάσια ἐργαζομένους.* De lucri cup. 377. B. Euthyd. 288. A: *θαυμάσιά γε λέγετ'* cet. Phaed. 117. D: *οἷα ... ποιεῖτε, ὦ θαυμάσιοι;* Phaedr. 260. D: *τί ποτ', ὦ θαυμάσιοι, ληρεῖτε;* Pol. VII. 526. A. Conv. 215. C: *πολύ γε θαυμασιώτερος ἐκείνου.* Euthyd. 299. E: *ὃ θαυμασιώτερόν γε ἔτι, ὅτι* cet. Menex. 235. B: *θαυμασιωτέραν αὐτὴν (τὴν πόλιν) ἡγεῖσθαι εἶναι ἢ πρότερον.* Euth. 6. B: *καὶ ἔτι γε τούτων θαυμασιώτερα.* Pol. II. 364. B: *τούτων δὲ πάντων οἱ περὶ θεῶν τε λόγοι καὶ ἀρετῆς θαυμασιώτατοι λέγονται, ὡς* cet.

θαυμασίως, admirabiliter (vern. *ausserordentlich* et *selt-*

sam, sonderbar). Prot. 325. B: *σκέψαι ὡς θαυμασίως γίγνονται οἱ ἀγαθοί.* Phaed. 60. B: *ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν.* Theaet. 193. D: *ἔοικε ... θαυμασίως ᾧ λέγεις τὸ τῆς δόξης πάθος.* Tim. 29. D: *τὸ προοίμιον θαυμασίως ἀπεδεξάμεθά σου.* Hipp. mai. 291. E: *ἢ θαυμασίως τε καὶ μεγάλως ... εἴρηκας.* — Sq. *ὡς* est Lat. *mirum quam.* Gorg. 471. B: *νῦν δὲ θαυμασίως ὡς ἄθλιος γέγονεν.* Theaet. 157. D: *θαυμασίως φαίνεται ὡς ἔχειν λόγον.*

θαυμαστός, ή, όν, admirabilis, mirabilis, incredibilis; praestantissimus; in malam partem pos. est *pugnans* (vern. *ungereimt*). Theaet. 144. D: *πρὸς τὴν τῶν χρημάτων ἐλευθεριότητα θαυμαστός.* Soph. 236. C: *ὄντως θαυμαστὸς ἀνήρ.* Parm. 134. E: *ἀλλὰ μὴ λίαν ... ᾖ θαυμαστὸς ὁ λόγος.* Conv. 178. A: *ὅτι μέγας θεὸς εἴη ὁ Ἔρως καὶ θαυμαστὸς ἐν ἀνθρώποις τε καὶ θεοῖς.* 186. A. Legg. XII. 957. C: *ὁ θεῖος ... καὶ θαυμαστὸς νόμος.* Charm. 154. C: *θαυμαστὸς ἐφάνη τό τε μέγεθος καὶ τὸ κάλλος.* Euthyd. 286. C. De lege 319. C: *τοῦτ' ἔστιν ἔπαινος θαυμαστός.* Gorg. 502. A: *ἡ σεμνὴ αὕτη καὶ θαυμαστὴ ἡ τῆς τραγῳδίας ποίησις.* Crat. 395. E: *θαυμαστὴ ὡς σύμφωνος τῷ ὀνόματι.* Conv. 182. D: *ὅτι ... ἡ παρακέλευσις ... θαυμαστή.* Legg. I. 648. C: *γυμνασία ... θαυμαστὴ ῥαστώνης ἂν εἴη.* X. 904. A: *θαυμαστὴ ῥαστώνη.* Apol. 41. A: *θαυμαστὴ ἂν εἴη ἡ διατριβὴ αὐτόθι.* Prot. 328. C: *ὅτι οὐδὲν θαυμαστὸν τῶν ἀγαθῶν πατέρων φαύλους υἱεῖς γίγνεσθαι.* Phaedr. 279. A: *ὥστε οὐδὲν ἂν γένοιτο θαυμαστὸν ... εἰ* cet. Gorg. 517. E. Parm. 129. B: *εἰ ... τί θαυμαστόν;* Phil. 29. C: *θαυμαστὸν καὶ κάλλει καὶ πάσῃ δυνάμει* cet. Conv. 177. B: *καὶ τοῦτον μὲν ἧττον καὶ θαυμαστόν.* Pol. III. 390. A: *εἰ ... θαυμαστὸν οὐδέν;* VI. 502. B: *θαυμαστόν τι καὶ ἀδύνατον;* Tim. 19. D. Legg. IV. 712. D: *θαυμαστὸν ὡς τυραννικὸν ἐν αὐτῇ γέγονε.* VII. 811. C: *καί μοι ἴσως οὐδὲν θαυμαστὸν πάθος ἐπῆλθε.* Menex. 235. E: *καὶ ἐμοὶ μέν γε ... οὐδὲν θαυμαστὸν οἵῳ τ' εἶναι εἰπεῖν.* Ep. II. 314. A: *ὃ δὲ θαυμαστὸν αὐτοῦ γέγονεν ἄκουσον.* Pol. I. 350. D: *μετὰ ἱδρῶτος θαυμαστοῦ ὅσου.* Phaed. 98. B: *ἀπὸ δὴ θαυμαστῆς ... ἐλπίδος ᾠχόμην φερόμενος.* Legg. X. 906. A: *φυλακῆς θαυμαστῆς δεομένη (μάχη).* Epin. 988. C: *ὕστερα δὲ τὰ τῆς θαυμαστῆς ψυχῆς.* 990. B. Euthyd. 288. A. 303. C. Critia 117. A: *ἡδονῇ ... τῶν ὑδάτων ἑκατέρου ... θαυμαστοῦ πεφυκότος.* Legg. V. 727. E: *ὡς θαυμαστοῦ τούτου κτήματος ἀμελεῖ.* I. 646. B: *τοῦ θαυμαστοῦ τε καὶ ἀτόπου (ἕνεκα), εἰ* cet. Conv. 219. B: *τούτῳ τῷ δαιμονίῳ ὡς ἀληθῶς καὶ θαυμαστῷ.* Ep. VII. 326. C: *οὐχ οὕτω θαυμαστῇ φύσει κραθήσεται.* Soph. 225. E: *τὸν θαυμαστὸν ... σοφιστήν.* Polit. 277. B: *θαυμαστὸν ὄγκον ἀράμενοι τοῦ μύθου.* 306. B: *θαυμαστόν τινα λόγον.* Phil. 14. C. Pol. III. 398. A: *προςκυνοῖμεν ἂν αὐτὸν ὡς ἱερὸν καὶ θαυμαστὸν καὶ ἡδύν.* X. 596. C: *δεινόν τινα λέγεις καὶ*

θαυμαστὸν ἄνδρα. Ib. *πάνυ θαυμαστὸν ... λέγεις σοφιστήν.* Tim. 50. C: *τρόπον τινὰ δύσφραστον καὶ θαυμαστόν.* Epin. 982. C: *θαυμαστόν τινα χρόνον ὅσον.* Phaed. 110. C: *θαυμαστὴν τὸ κάλλος.* Phil. 28. D: *φρόνησίν τινα θαυμαστήν.* Conv. 213. E: *τὴν τούτου ταυτηνὶ τὴν θαυμαστὴν κεφαλήν.* Legg. VIII. 838. C: *ὅτι τὸ τῆς φήμης θαυμαστήν τινα δύναμιν εἴληχεν.* Alc. II. 151. A: *θαυμαστὴν ὅσην περὶ σὲ προθυμίαν ἔχει.* Ep. VII. 340. C: *ὁδόν τε ἡγεῖται θαυμαστὴν ἀκηκοέναι.* Prot. 318. B: *τοῦτο μὲν οὐδὲν θαυμαστὸν λέγεις.* Theaet. 150. D: *θαυμαστὸν ὅσον ἐπιδιδόντες.* Phil. 57. C: *εἰς θαυμαστὸν διαφορᾶς μέγεθος ... προεληλύθαμεν.* Conv. 204. B: *θαυμαστὸν οὐδὲν ἔπαθες.* 210. E: *κατόψεταί τι θαυμαστὸν τὴν φύσιν καλόν.* 217. A: *εὐτύχημα ἐμὸν θαυμαστόν.* Pol. II. 378. B: *οὐδὲν ἂν θαυμαστὸν ποιοῖ.* Tim. 26. B: *τὰ παίδων μαθήματα θαυμαστὸν ἔχει τι μνημεῖον.* Legg. II. 657. A: *θαυμαστὸν λέγεις.* Epin. 983. A: *θαυμαστόν τι μέγεθος ἔχει.* Hipp. mai. 283. C: *τέρας λέγεις καὶ θαυμαστόν.* Lach. 184. C: *εἰ μή τι θαυμαστὸν ὅσον διαφέρει τῇ ἀρετῇ τῶν ἄλλων.* Ep. VII. 325. D: *ἐπεδίδου θαυμαστὸν ὅσον.* 339. B. Polit. 265. A: *ὦ θαυμαστέ.* Phaed. 108. C: *εἰσὶ δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι.* Polit. 207. D: *παθήματα πολλὰ καὶ θαυμαστά.* Conv. 198. B: *καὶ τὰ μὲν ἄλλα οὐχ ὁμοίως θαυμαστά.* 217. A: *πάγκαλα καὶ θαυμαστά.* Tim. 20. Legg. III. 686. C: *θαυμαστά ... ἐργασάμενον.* E. Polit. 270. B: *ὃ πάντων ... τῶν θαυμαστῶν αἴτιον.* Legg. X. 893. D: *διὸ ... τῶν θαυμαστῶν ἁπάντων πηγὴ γέγονεν.* XII. 967. B: *θαυμαστοῖς λογισμοῖς.* Gorg. 518. B: *ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων.* Legg. XII. 945. E: *διὸ ... δεῖ πάντως τοὺς εὐθύνους θαυμαστοὺς πᾶσαν ἀρετὴν εἶναι.* Theaet. 151. A: *θαυμαστὰ δρῶντες.* 154. B: *θαυμαστά γε καὶ γελοῖα ... ἀναγκαζόμεθα λέγειν.* 174. E: *θαυμαστὰ πλήθει.* Conv. 213. D: *θαυμαστὰ ἐργάζεται.* Critia 115. B: *καλά τε καὶ θαυμαστά.* Hipp. mai. 282. C: *χρήματα ἔλαβε θαυμαστὰ ὅσα.* Euthyd. 295. A: *ἐγὼ ἐπιδείξω καὶ σὲ ταῦτα τὰ θαυμαστὰ ὁμολογοῦντα.* Men. 93. D. Theaet. 142. B: *ἀλλὰ πολὺ θαυμαστότερον εἰ μὴ τοιοῦτος ἦν.* Pol. VI. 489. A. Parm. 135. B: *ἔτι δὲ θαυμαστοτέρου (ἀνδρός).* Polit. 269. B: *καὶ τούτων ἔτι θαυμαστότερα.* Ep. II. 314. A. Conv. 220. A: *ὃ πάντων θαυμαστότατον ἀκοῦσαι, ὅτι* cet. — Plur. adverbii instar pos. Conv. 192. B: *θαυμαστὰ ἐκπλήττονται φιλίᾳ* cet. 220. A: *ἠμφιεσμένων τε θαυμαστὰ δὴ ὅσα.*

θαυμαστῶς, *mirabiliter*; *insigniter*; *mirifice.* Phaed. 74. B: *φῶμεν ... θαυμαστῶς γε.* 88. D: *θαυμαστῶς γάρ μου ὁ λόγος οὗτος ἀντιλαμβάνεται καὶ νῦν καὶ ἀεί.* Theaet. 144. A: *οὕτω θαυμαστῶς εὖ πεφυκότα.* Parm. 129. E: *ἀγαίμην ἂν ἔγωγ᾽, ἔφη, θαυμαστῶς.* Conv. 198. A: *ὅτι Ἀγάθων θαυμαστῶς ἐροῖ.* Tim. 39. D. Critia 108. B: *ὅτι θαυ-*

μαστῶς ὁ πρότερος εὐδοκίμηκεν ἐν αὐτῷ ποιητής. Legg. I. 633. B: *θαυμαστῶς πολύπονος.* VI. 780. E: *καλῶς καὶ ... θαυμαστῶς καθέστηκεν.* 781. D. Epin. 985. A: *θαυμαστῶς ἀσπάζεσθαι.* Euthyd. 283. C: *ὅτι θαυμαστῶς σπουδάζοιμεν.* Ep. VII. 330. A. al. — Sq. *ὡς* est *mirum quam.* Phaed. 92. A: *θαυμαστῶς ὡς ἐπείσθην ὑπ' αὐτοῦ.* 95. A: *θαυμαστῶς μοι εἶπες ὡς παρὰ δόξαν.* 96. A. 102. A. Parm. 135. A. Conv. 200. A: *ἐμοὶ μὲν γὰρ θαυμαστῶς δοκεῖ ... ὡς ἀνάγκη εἶναι.* Pol. I. 331. A: *εὖ οὖν λέγει θαυμαστῶς ὡς σφόδρα.* Clit. 407. E: *θαυμαστῶς ὡς ἐπαινῶ.* Ep. VII. 330. A. XII. 359. C.

θαυματοποιία, ἡ, praestigiatorum ars. Pol. X. 602. D: *ἡ θαυματοποιία καὶ ἄλλαι πολλαὶ τοιαῦται μηχαναί.*

θαυματοποιικός, ή, όν, praestigiatoris proprius. Soph. 224. A: *καὶ γραφικὴν (λέγωμεν) καὶ θαυματοποιικὴν* (v. *θαυματοποιητικήν*). 268. D: *ἐν λόγοις τὸ θαυματοποιικόν.*

θαυματοποιός, ὁ, praestigiator. Soph. 235. B: *τοῦ γένους εἶναι τοῦ τῶν θαυματοποιῶν.* Pol. VII. 514. B: *τοῖς θαυματοποιοῖς.*

θαυματουργία, ἡ, ostentatio ad mirationem spectans. Legg. II. 675. A: *ἀμουσία καὶ θαυματουργία γίγνοιτ' ἂν τῆς χρήσεως.*

θαυματουργῶ, miraculum edo vel *efficio.* Tim. 80. C: *τεθαυματουργημένα ... φανήσεται.*

θεά, ἡ, dea. Pol. III. 388. A: *θεᾶς παῖδα.* 391. C. Conv. 180. D: *πῶς δ' οὐ δύο τὼ θεά;* Alc. I. 108. C: *τίνες αἱ θεαὶ ὧν ἡ τέχνη;* Conv. 219. C: *μὰ θεούς, μὰ θεάς.* Tim. 27. C. Epin. 980. C. al.

θέα, ἡ, spectatio. Pol. VIII. 545. C: *κατὰ λόγον ... ἂν ... οὕτω γίγνοιτο ἥ τε θέα καὶ ἡ κρίσις.* Legg. XII. 965. B: *σκέψις θέα τ'* (v. *θετέον*). Phaedr. 248. B: *ἀτελεῖς τῆς τοῦ ὄντος θέας ἀπέρχονται.* Pol. IV. 445. C: *ἅ γε δὴ καὶ ἄξια θέας.* IX. 582. C: *τῆς ... τοῦ ὄντος θέας.* Euthyd. 274. C. Pol. V. 466. E: *πρὸς ... τῇ θέᾳ.* 467. A: *ἐμπειρίᾳ τε καὶ θέᾳ τῶν προσηκόντων.* Phaedr. 250. B: *μακαρίαν ὄψιν τε καὶ θέαν.* Soph. 236. B. Pol. V. 467. E: *ἀκτέον ἐπὶ τὴν θέαν.* VII. 517. B: *τὴν ... θέαν τῶν ἄνω.* 525. A: *ἐπὶ τὴν τοῦ ὄντος θέαν.* X. 619. E: *ταύτην ... τὴν θέαν ἀξίαν εἶναι ἰδεῖν ὡς* cet. Lach. 179. E: *ἐλθεῖν ἐπὶ θέαν τἀνδρός.* Locr. 100. C. Phaedr. 247. A: *πολλαὶ καὶ μακάριαι θέαι ... ἐντὸς οὐρανοῦ.* Pol. X. 615. A: *θέας ἀμηχάνους τὸ κάλλος.*

θέαμα, τό, spectaculum. Pol. III. 402. D: *τοῦτ' ἂν εἴη κάλλιστον θέαμα τῷ δυναμένῳ θεᾶσθαι.* IV. 440. A: *ἐμπλήσθητε τοῦ καλοῦ θεάματος.* Legg. IV. 711. A. Phaed. 111. A: *ὥστε αὐτὴν ἰδεῖν εἶναι θέαμα εὐδαιμόνων θεατῶν.* Pol. X. 615. D: *καὶ τοῦτο τῶν δεινῶν θεαμάτων.* Tim. 87. D: *πάντων θεαμάτων ... κάλλιστον καὶ ἐρασμιώτατον.* Gorg.

525. C: *τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θεάματα καὶ νουθετήματα.*

θεατής, ὁ, spectator. Theaet. 173. C: *οὔτε γὰρ δικαστὴς οὔτε θεατὴς* cet. Ion. 535. E. Polit. 260. C: *καθάπερ τινὰ θεατήν.* Legg. II. 659. C: *ὥστε αὐτοὶ ἑαυτοὺς οἱ θεαταὶ παιδεύουσι.* Gorg. 502. A: *ἢ ὅ τι μέλλει χαριεῖσθαι τῷ ὄχλῳ τῶν θεατῶν;* Phaed. 111. A: *θέαμα εὐδαιμόνων θεατῶν.* Legg. II. 659. B. Ion. 535. D. Gorg. 502. B: *χαρίζεσθαι τοῖς θεαταῖς μόνον.* C. Legg. II. 659. B. 779. D. 658. A: *ὃς δ' ἂν τέρψῃ τοὺς θεατὰς μάλιστα.* VI. 767. D.

θεατός, ή, όν, spectabilis (qui spectari potest et dignus qui spectetur). Conv. 197. D: *θεατὸς σοφοῖς.* Phaedr. 247. C: *μόνῳ θεατὴ* (v. *θεατῇ*) *νῷ* (v. *νῷ χρῆται*).

θεατροκρατία, ἡ, theatri dominatio. Legg. III. 701. A: (*ὅθεν*) *ἀντὶ ἀριστοκρατίας ... θεατροκρατία τις πονηρὰ γέγονεν.*

θέατρον, τό, theatrum; etiam, ut Lat. *theatrum, spectatores.* Phaedr. 258. B: *γεγηθὼς ἀπέρχεται ἐκ τοῦ θεάτρου ὁ ποιητής.* Conv. 194. B: *θεάτρου μεστόν.* Critia 108. B: *τὴν τοῦ θεάτρου διάνοιαν.* Legg. II. 659. A: *οὔτε γὰρ παρὰ θεάτρου δεῖ τόν γε ἀληθῆ κριτὴν κρίνειν μανθάνοντα.* C. Conv. 194. B: *βλέψαντος ἐναντία τοσούτῳ θεάτρῳ.* Critia 108. D. Legg. II. 665. E. Conv. 194. A: *διὰ τὸ οἴεσθαι τὸ θέατρον προσδοκίαν μεγάλην ἔχειν.* Ax. 370. D: *φιλοσοφῶν οὐ πρὸς ὄχλον καὶ θέατρον.* Legg. III. 701. E: *ὅθεν δὴ τὰ θέατρα ἐξ ἀφώνων φωνήεντα ἐγένοντο.* VI. 779. D. IX. 876. B. Ax. 371. C: *θέατρα ποιητῶν.* Gorg. 502. D: *ἐν τοῖς θεάτροις.* Legg. II. 667. B: *ἐν τοῖς κοινοῖς θεάτροις.* Ep. IV. 321. A. Pol. VI. 492. B: *εἰς δικαστήρια ἢ θέατρα.* X. 604. E.

θεῖον, τό, sulphur. Locr. 99. C: *θεῖον, ἄσφαλτον* cet.

θεῖος, α, ον, divinus; divinitus accidens; mente incitatus; eximius, praeclarus, praestans; τὸ θεῖον, divinum, subst. *divinitas;* etiam *deus* vel *dii.* Prot. 315. E: *θεῖος* (*ἀνήρ*). Id. Soph. 216. B. Phil. 18. B: *εἴτε τις θεὸς εἴτε καὶ θεῖος ἄνθρωπος.* Pol. I. 331. E. Men. 99. D. Phaedr. 238. C: *τῷ ὄντι γὰρ θεῖος ἔοικεν ὁ τόπος εἶναι.* 242. A: *θεῖός γ' εἶ περὶ τοὺς λόγους.* Conv. 209. B: *θεῖος ὤν.* Pol. VI. 500. D: *θεῖος εἰς τὸ δυνατὸν ἀνθρώπῳ γίγνεται.* Legg. IV. 711. D: *ὅταν ἔρως θεῖος τῶν σωφρόνων τε καὶ δικαίων ἐπιτηδευμάτων ἐγγένηται μεγάλαις τισὶ δυναστείαις.* XII. 957. C: *ὁ θεῖος ... καὶ θαυμαστὸς νόμος.* Ep. VII. 340. C: *ἐὰν ... ὄντως ᾖ φιλόσοφος ... θεῖος ὤν.* Phaedr. 256. B: *οὔτε σωφροσύνη ἀνθρωπίνη οὔτε θεία μανία.* Pol. IX. 592. A: *ἐὰν μὴ θεία τις ξυμβῇ τύχη.* Apol. 33. C: *θεία μοῖρα.* Ion. 533. B: *θεία ... δύναμις.* Phil. 51. E: *ἧττον ... τούτων θεῖον γένος ἡδονῶν.* Pol. II. 382. E: *πάντῃ ἄρα ἀψευδὲς τὸ δαιμόνιόν τε καὶ τὸ θεῖον.* Tim. 90.

B: *τὸ θεῖον ... ὀρθοῖ πᾶν τὸ σῶμα.* Legg. III. 682. A: *θεῖον γὰρ οὖν δὴ καὶ τὸ ποιητικὸν ὂν γένος.* 696. A: *τὸ κατ' ἀρχὰς ἡμῖν θεῖον.* IX. 854. B: *οὐκ ἀνθρώπινόν σε κακὸν οὐδὲ θεῖον κινεῖ* cet. XII. 950. B: *θεῖον δέ τι καὶ εὔστοχον ἔνεστι καὶ τοῖσι κακοῖς.* Apol. 31. C: *ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται.* Ax. 370. C: *εἰ μή τι θεῖον ὄντως ἐνῆν πνεῦμα τῇ ψυχῇ.* Ep. III. 315. C: *πόῤῥω ... ἡδονῆς ἵδρυται καὶ λύπης τὸ θεῖον.* Phaed. 85. D: *λόγου θείου τινος.* Prot. 322. A: *ἐπειδὴ ... ὁ ἄνθρωπος θείας μετέσχε μοίρας.* Phaedr. 230. A: *θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον.* 234. D: *μετὰ σοῦ, τῆς θείας κεφαλῆς.* Pol. VI. 499. B: *ἔκ τινος θείας ἐπιπνοίας.* Tim. 80. B: *διὰ τὴν τῆς θείας ἁρμονίας μίμησιν.* Critia 121. A: *φύσεως θείας παραμενούσης.* Legg. II. 664. D: *διὰ θείας φήμης καταλελεῖφθαι.* VII. 824: *ὅσοις ἀνδρείας τῆς θείας ἐπιμελές.* Phaedr. 246. D: *κεκοινώνηκε ... μάλιστα τῶν περὶ τὸ σῶμα τοῦ θείου.* Pol. VI. 486. A: *ψυχῇ μελλούσῃ τοῦ ὅλου καὶ παντὸς ἀεὶ ἐπορέξεσθαι θείου τε καὶ ἀνθρωπίνου.* Phaedr. 244. A: *διὰ μανίας, θείᾳ μέντοι δόσει διδομένης.* Pol. II. 366. C: *θείᾳ φύσει δυςχεραίνων τὸ ἀδικεῖν.* Legg. III. 691. E: *φύσις τις ἀνθρωπίνη μεμιγμένη θείᾳ τινὶ δυνάμει.* VI. 759. C: *τῇ θείᾳ τύχῃ.* IX. 875. C: *θείᾳ μοίρᾳ γεννηθείς.* X. 904. D: *ἀρετῇ θείᾳ προςμίξασα.* Ion. 534. C. al. Pol. VI. 500. C: *θείῳ ... καὶ κοσμίῳ ὅ γε φιλόσοφος ὁμιλῶν.* E: *οἱ τῷ θείῳ παραδείγματι χρώμενοι ζωγράφοι.* VIII. 546. B: *θείῳ ... γεννητῷ.* X. 611. E: *ὡς ξυγγενὴς οὖσα τῷ τε θείῳ καὶ ἀθανάτῳ καὶ τῷ ἀεὶ ὄντι.* Legg. II. 671. D: *ὃν αἰδῶ τε καὶ αἰσχύνην θεῖον φόβον ὠνομάκαμεν.* Tim. 36. E: *θείαν ἀρχὴν ἤρξατο ἀπαύστου καὶ ἔμφρονος βίου.* Legg. VII. 798. A: *κατά τινα θείαν εὐτυχίαν.* Epin. 979. B. Phaedr. 238. C: *δοκῶ τι σοί, ὥσπερ ἐμαυτῷ, θεῖον πάθος πεπονθέναι;* 242. C: *ὥς τι ἡμαρτηκότα εἰς τὸ θεῖον.* Phaed. 81. A: *τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον.* Soph. 254. B: *πρὸς τὸ θεῖον ἀφορῶντα.* Pol. II. 368. A: *πάνυ γὰρ θεῖον πεπόνθατε εἰ* cet. IX. 590. D: *ἔχοντος ἐν αὑτῷ τὸ θεῖον ἄρχον.* Tim. 72. D. Legg. IX. 971. C. Alc. I. 134. D: *εἰς τὸ θεῖον καὶ λαμπρὸν ὁρῶντες.* Theag. 131: *αὐτὸ τὸ θεῖον τὸ σοὶ γιγνόμενον.* Legg. I. 626. C: *ὦ θεῖε.* Pol. II. 383. C: *εἰ μέλλουσιν ἡμῖν οἱ φύλακες θεοσεβεῖς τε καὶ θεῖοι γίγνεσθαι.* Legg. XII. 951. B: *εἰσὶ γὰρ ἐν τοῖς πολλοῖς ἄνθρωποι ἀεὶ θεῖοί τινες.* Men. 81. B. Legg. VII. 818. B: *ὅσαι θεῖαί γε ... τῶν ἀναγκῶν εἰσίν.* Conv. 216. E: *οὕτω θεῖα καὶ χρυσᾶ* cet. Legg. V. 732. E. Pol. VII. 517. D: *ἀπὸ θείων ... θεωριῶν ἐπὶ τὰ ἀνθρώπειά τις ἐλθών.* Soph. 232. B: *περὶ τῶν θείων, ὅσ' ἀφανῆ τοῖς πολλοῖς* cet. Tim. 24. C. 69. C. Legg. VII. 809. C. Pol. VII. 540. C: *ὡς εὐδαίμοσί τε καὶ θείοις.* Legg. II. 666. D: *θείοις ἀνδράσιν.* VII. 817. A. Conv. 187. E: *ἐν τοῖς ἄλλοις πᾶσι καὶ*

θράττω (ταράττω), conturbo, pungo vel *stimulo* (de scrupulo). Theaet. 187. C: *θράττει μέ πως νῦν τε καὶ ἄλλοτε δὴ πολλάκις.* Phaed. 86. E: *λέγε τί ἦν ὅ σε αὖ θρατ-*

τον ἐπιστίαν παρέχει. Phaedr. 242. C: ἐμὲ γὰρ ἔθραξε μέν τι καὶ πάλαι λέγοντα τὸν λόγον. Parm. 130. D: ἤδη μέντοι ποτέ με καὶ ἔθραξε μή τι ᾖ περὶ πάντων ταὐτόν.

θραυστός, ή, όν, *fragilis.* Locr. 99. C: τὸ δὲ θραυστὸν (εἶδος) θεῖον, ἄσφαλτον cet.

θραύω, *confringo.* Crat. 426. E: οἷον κρούειν, θραύειν cet. Phaedr. 248. B: πολλαὶ ... πολλὰ πτερὰ θραύονται.

θρέμμα, τό, *quicquid alitur* vel *fovetur* (*alumnus*, *pullus*; praec. *pecus*, *animal*, et in univ. *animans*, plur. *animantia*). Phaedr. 260. B: ὡς παντὸς ἄξιον τὸ θρέμμα οἴκοι τε κεκτῆσθαι cet. Theaet. 174. B: εἰ ἄνθρωπός ἐστιν ἤ τι ἄλλο θρέμμα. Pol. IX. 590. A: τὸ δεινὸν ... καὶ πολυειδὲς θρέμμα. Legg. VI. 777. B: ἐπειδὴ δύςκολόν ἐστι τὸ θρέμμα ἄνθρωπος. XI. 914. D. Pol. VI. 493. A: θρέμματος μεγάλου καὶ ἰσχυροῦ ... τὰς ὀργάς τε καὶ ἐπιθυμίας. IX. 589. B: τοῦ πολυκεφάλου θρέμματος ἐπιμελήσεται. Charm. 155. E. Pol. VIII. 569. B: οἷον θρέμμα γεννῶν. Tim. 70. E: ὡς θρέμμα ἄγριον. Legg. I. 639. A: πᾶν θρέμμα ἄναρχον ... ἰδών. Polit. 268. B: ἐφ' ὅσον αὐτοῦ τὰ θρέμματα φύσει μετείληφεν. Tim. 30. D: ὅσα τε ἄλλα θρέμματα συνέστηκεν ὁρατά. Legg. XII. 953. E: καθάπερ ποιοῦσι νῦν θρέμματα Νείλου. Phaedr. 240. B: τῶν τοιουτοτρόπων θρεμμάτων τε καὶ ἐπιτηδευμάτων. Polit. 261. D: τὴν δὲ κοινὴν τῶν ἐν ταῖς ἀγέλαις θρεμμάτων ἐπιμέλειαν. Pol. IX. 590. C. Legg. VII. 819. D: ἔδοξέ μοι τοῦτο οὐκ ἀνθρώπινον, ἀλλὰ ὑηνῶν τινῶν εἶναι μᾶλλον θρεμμάτων. XI. 936. E: ἤ τι τῶν ἄλλων θρεμμάτων. Polit. 264. A: ἐπὶ τοῖς ἀγελαίοις ... θρέμμασιν. 266. A. Critia 118. B: τροφὴν τοῖς πᾶσιν ἡμέροις καὶ ἀγρίοις ἱκανὴν θρέμμασιν. Phaedr. 230. D: ὥσπερ οἱ τὰ πεινῶντα θρέμματα θαλλὸν ... προσείοντες ἄγουσι. Soph. 222. A: τὰν τούτοις θρέμματα χειρωσόμενος. Critia 109. B: κτήματα καὶ θρέμματα ἑαυτῶν ἡμᾶς ἔτρεφον. Legg. VII. 789. B: τρέφουσι ... ὀρνίθων θρέμματα. 790. D: περὶ τὰ νεογενῆ παίδων θρέμματα. Phaedr. 261. A: πάριτε δή, θρέμματα γενναῖα, cet.

θρεπτικός, ή, όν, *alendi vim habens.* Polit. 267. B: τέχνη τῆς ἀκεράτου φύσεως θρεπτική. 276. B: μηδεμίαν εἶναι τέχνην ἐν ἡμῖν ἀξίαν τούτου τοῦ θρεπτικοῦ προςρήματος. C: τῆς δίποδος ἀγέλης εἶναί τινα θρεπτικὴν τέχνην.

θρῆνος, ὁ, *lamentatio*; *luctus*; *carmen lugubre.* Phil. 50. C: θρήνου πέρι καὶ φθόνου cet. 47. E: θρῆνον. 50. B. Pol. III. 398. D: θρήνων τε καὶ ὀδυρμῶν ἔφαμεν ἐν λόγοις οὐδὲν προςδεῖσθαι. Legg. XII. 947. B: θρήνων τε καὶ ὀδυρμῶν χωρὶς γίγνεσθαι. Phil. 48. A: τὰς ἐν τοῖς θρήνοις καὶ πόθοις ἡδονάς. 50. B: ἐν θρήνοις τε καὶ τραγῳδίαις. Pol. III. 395. E: (ἐν) πένθεσι καὶ θρήνοις ἐχομένην. 387. E: ὀρθῶς ἄρ' ἂν ἐξαιρῶμεν τοὺς θρήνους τῶν ὀνομαστῶν ἀνδρῶν. 388. D: πολλοὺς ἐπὶ σμικροῖσι παθήμασι θρήνους

ἂν ᾄδοι καὶ ὀδυρμούς. IX. 578. A. Legg. III. 700. B: *ᾠδῆς ἕτερον εἶδος, θρήνους* cet. D: *κεραννύντες … θρήνους τε ὕμνοις* cet.

θρηνῶ, *lugeo, lamentor.* Tim. 47. B: *ὀδυρόμενος ἂν θρηνοῖ μάτην.* Legg. XII. 960. A: *θρηνεῖν … καὶ ἔξω τῆς οἰκίας φωνὴν ἐξαγγέλλειν.* Menex. 248. C. Apol. 38. D: *θρηνοῦντός τέ μου καὶ ὀδυρομένου.* Menex. 248. B: *οὐ θρηνοῦντες οὐδὲ ὀλοφυρόμενοι.* Phaed. 85. A: *αὐτοὺς (τοὺς κύκνους) θρηνοῦντας τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν.* Ib. *ἅ δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν.*

θρηνώδης, ὁ, ἡ, *lugubris, querulus.* Legg. VII. 792. A: *ὁ … δύσκολος … ἆρ' οὐ δοκεῖ σφῷν θρηνώδης τε εἶναι* cet. Pol. X. 606. A: *ἀνίησι τὴν φυλακὴν τοῦ θρηνώδους τούτου.* III. 398. D: *τίνες … θρηνώδεις ἁρμονίαι;* 411. A: *τὰς … θρηνώδεις ἁρμονίας.*

θρηνῳδία, ἡ, *lamentatio.* Pol. X. 604. D: *ἰατρικῇ τὴν θρηνῳδίαν ἀφανίζοντα.*

θριγκός, ὁ, *apex, culmen.* Pol. VII. 534. E: *ἆρ' οὖν δοκεῖ σοι … ὥσπερ θριγκὸς τοῖς μαθήμασιν ἡ διαλεκτικὴ ἡμῖν ἐπάνω κεῖσθαι —;*

θρίξ, ἡ, *pilus; coma s. capillus.* Parm. 130. C: *οἷον θρὶξ ἢ πηλὸς* cet. Tim. 76. C. Alc. I. 120. B: *ἔτι τὴν ἀνδραποδώδη … τρίχα ἔχοντες ἐν τῇ ψυχῇ.* Polit. 270. E: *τῶν … πρεσβυτέρων αἱ λευκαὶ τρίχες ἐμελαίνοντο.* Ion. 535. C: *ὀρθαὶ αἱ τρίχες ἵστανται ὑπὸ φόβου.* Tim. 76. C: *τὸ τριχῶν γένος ἐν τῷ δέρματι πέφυκε.* 91. D: *ἀντὶ τριχῶν πτερὰ φύον.* Prot. 321. A: *ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶ καὶ στερεοῖς δέρμασιν.* 334. B: *ταῖς θριξὶ πολεμιώτατον ταῖς τῶν ἄλλων ζώων πλὴν ταῖς τοῦ ἀνθρώπου.* Conv. 190. E. Phaed. 89. B: *ξυμπιέσας τὰς ἐπὶ τῷ αὐχένι τρίχας.* Ib. *παίζειν … εἰς τὰς τρίχας.* Conv. 207. D: *κατὰ τὰς τρίχας καὶ σάρκα* cet. Pol. III. 391. B. Tim. 64. C. 76. E: *τρίχας ὄνυχάς τε ἐπ' ἄκροις τοῖς κώλοις ἔφυσαν.* Lys. 217. D: *εἴ τίς σου ξανθὰς οὔσας τὰς τρίχας ψιμυθίῳ ἀλείψειε.*

θρόμβος, ὁ, *grumus.* Critia 120. A: *θρόμβον ἐνέβαλλον αἵματος.*

θρόνος, ὁ, *solium.* Pol. VIII. 553. B: *εὐθὺς ἐπὶ κεφαλὴν ὠθεῖ ἐκ τοῦ θρόνου τοῦ ἐν τῇ ἑαυτοῦ ψυχῇ φιλοτιμίαν* cet. Prot. 315. C: *καθήμενον … ἐν θρόνῳ.* Pol. X. 617. B. VIII. 553. C: *ἆρ' οὐκ οἴει τὸν τοιοῦτον τότε εἰς … τὸν θρόνον ἐκεῖνον τὸ ἐπιθυμητικὸν … ἐγκαθίζειν —;* X. 621. A: *ἐντεῦθεν … ὑπὸ τὸν τῆς Ἀνάγκης ἰέναι θρόνον.*

θρόνωσις, ἡ, caerimonia dicebatur qua mystae Corybantum sacris initiandum in solio collocabant et circa eum saltabant. Euthyd. 277. D: *ὅταν τὴν θρόνωσιν ποιῶσι περὶ τοῦτον ὃν ἂν μέλλωσι τελεῖν.*

θρυλλῶ et *θρυλῶ*, *decanto, in ore habeo, celebro.* Phaed. 65. B: *ἢ τά γε τοιαῦτα καὶ οἱ ποιηταὶ ἡμῖν ἀεὶ θρυλοῦσιν*

(v. *θρυλλοῦσιν*) ὅτι cet. 76. D: *ἃ θρυλοῦμεν ἀεί.* Ax. 365. B: *τὸ κοινὸν ... καὶ ... θρυλλούμενον.* 364. B: *τὴν ἀεὶ θρυλλουμένην πρὸς σοῦ σοφίαν.*

θρύπτω, tero, comminuo. Crat. 426. E: *θρύπτειν, κερματίζειν.* Parm. 165. B: *θρύπτεσθαι ... κερματιζόμενον ἀνάγκη πᾶν τὸ ὄν.* * *mollem* vel *delicatum* aliquem *reddo.* Legg. VI. 778. A: *θρύπτοντες.* Locr. 103. B: *θρύπτοισα τὰν ψυχὰν ἢ ῥωννῦσα ποτ' ἀλκάν.* Unde med. *delicatus sum, fastidiosum me praebeo.* Legg. VI. 777. E: *θρύπτεσθαι ποιεῖν.* Phaedr. 228. C: *ἐθρύπτετο, ὡς δὴ οὐκ ἐπιθυμῶν λέγειν.* 236. C.

θυγάτηρ, ἡ, filia. Conv. 179. B: *ἡ Πελίου θυγάτηρ Ἄλκηστις.* 180. D: *Οὐρανοῦ θυγάτηρ.* Legg. XI. 925. D. Conv. 199. D: *ἔστιν υἱέος γε ἢ θυγατρὸς ὁ πατὴρ πατήρ.* Pol. III. 393. D. Legg. XI. 924. D: *νυμφίον δ' εἶναι τῇ θυγατρί.* Gorg. 512. C: *τῷ υἱεῖ αὐτοῦ οὔτ' ἂν θυγατέρα ἐθέλοις* cet. Pol. III. 392. E. al. Ep. XIII. 361. C: *εἰσί μοι ἀδελφιδῶν θυγατέρες.* Legg. VI. 765. D: *υἱέων καὶ θυγατέρων.* XI. 924. D. I. 650. A: *αὐτοῦ θυγατέρας τε καὶ υἱεῖς καὶ γυναῖκας.* Ep. XIII. 363. A: *ταῖς Κέβητος θυγατράσι.*

θυηπολῶ, sacra facio. Pol. II. 364. E: *καθ' ἃς θυηπολοῦσι.*

θύλακος, ὁ, saccus. Theaet. 161. A: *ὅτι με οἴει λόγων τινὰ εἶναι θύλακον.*

θῦμα, τό, quicquid immolatur vel *diis offertur,* ut victima; in univ. *sacrificium.* Def. 415. B: *θυσία θεῷ δόμα θύματος.* Pol. II. 378. A: *θυσαμένους οὐ χοῖρον, ἀλλά τι μέγα καὶ ἄπορον θῦμα.* Critia 119. D: *ἐπευξάμενοι τῷ θεῷ τὸ κεχαρισμένον αὐτῷ θῦμα ἑλεῖν.* Legg. VI. 782. C: *θύματα ... οὐκ ἦν τοῖς θεοῖσι ζῶα, πελανοὶ δὲ καὶ μέλιτι καρποὶ δεδευμένοι καὶ τοιαῦτα ἄλλα ἁγνὰ θύματα.* V. 741. C: *ἐπὶ τοῖς πρώτοις θύμασι καὶ δευτέροις.* VII. 799. A: *ἐπὶ τοῖς τῶν θεῶν θύμασιν ἑκάστοις.* X. 888. C: *θύμασι καὶ εὐχαῖς.* XII. 953. E. Polit. 290. E: *τὰ μέγιστα τῶν περὶ τὰ τοιαῦτα θύματα ... θύειν.* Critia 120. B: (*ἐπεὶ*) *τὸ πῦρ ἐψυγμένον τὸ περὶ τὰ θύματα εἴη.* Legg. X. 909. E: *τοῖς ἱερεῦσι ... ἐγχειριζέτω τὰ θύματα.* XII. 948. C: *σμικρὰ δεχόμενοι θύματα.*

θυμίαμα, τό, suffimentum, odores. Pol. II. 373. A: *μύρα καὶ θυμιάματα.* Legg. VIII. 847. C: *ὅσα περὶ θεοὺς τὰ τοιαῦτ' ἐστὶ ξενικὰ θυμιάματα.* Pol. IX. 573. A: *θυμιαμάτων τε γέμουσαι καὶ μύρων* cet.

θυμιατικός, ή, όν, ad suffitum idoneus. Tim. 61. C: *πάντα ὅσα κηροειδῆ καὶ θυμιατικὰ σώματα ξυμπήγνυται.*

θυμικός, ή, όν, iracundus; τὸ θυμ. iracunda animi pars. Def. 415. E: *ὀργὴ παράκλησις τοῦ θυμικοῦ εἰς τὸ τιμωρεῖσθαι.*

θυμιῶ, suffio, suffitus causa incendo; intr. *vaporo.* Tim. 66. D: *τηκομένων ἢ θυμιωμένων γίγνονταί τινων* (*ὀσμαί*).

θυμοειδής, ὁ ἡ, animosus; iracundus. Pol. II. 376. C:

φιλόσοφος ... καὶ θυμοειδὴς cet. V. 456. A: *καὶ θυμοειδής, ἡ δ' ἄθυμος;* IV. 441. A: *τὸ θυμοειδές, ἐπίκουρον ὂν τῷ λογιστικῷ φύσει.* 442. C. Locr. 100. A. Pol. III. 411. C: *ὀργίλοι ἀντὶ θυμοειδοῦς.* IV. 440. E. Def. 413. A: *ἀπάθεια τοῦ θυμοειδοῦς.* Pol. II. 375. E: *πρὸς τῷ θυμοειδεῖ ἔτι προςγενέσθαι καὶ φιλόσοφος τὴν φύσιν.* 375. C: *ἐναντία γάρ που θυμοειδεῖ πραεῖα φύσις.* IV. 441. E: *τῷ ... θυμοειδεῖ (προςήκει) ὑπηκόῳ εἶναι καὶ ξυμμάχῳ τούτου (τοῦ λογιστικοῦ).* VIII. 550. B. II. 375. B: *ὅτι γε θυμοειδῆ (δεῖ τὸν φύλακα εἶναι).* Legg. V. 731. B. D. Pol. III. 411. B: *ἐὰν ... θυμοειδῆ (φύσιν λάβῃ).* Tim. 18. A. Pol. III. 410. B: *πρὸς τὸ θυμοειδὲς τῆς φύσεως βλέπων κἀκεῖνο ἐγείρων.* 411. A: *εἴ τι θυμοειδὲς εἶχεν.* E. IV. 435. E. IX. 581. A: *τὸ θυμοειδὲς οὐ πρὸς τὸ κρατεῖν μέντοι φαμὲν καὶ νικᾶν καὶ εὐδοκιμεῖν ἀεὶ ὅλον ὡρμῆσθαι;* De virt. 378. D: *οἵτινές τε θυμοειδεῖς καὶ ἄθυμοι.* Pol. V. 467. E: *ἐφ' ἵππων ... μὴ θυμοειδῶν μηδὲ μαχητικῶν.* VIII. 547. E: *ἐπὶ ... τοὺς θυμοειδεῖς τε καὶ ἁπλουστέρους ἀποκλίνειν.*

θυμός, ὁ, *animus*, praec. *commotus;* hinc *excandescentia, iracundia.* Crat. 419. E: *θυμὸς ... ἀπὸ τῆς θύσεως καὶ ζέσεως τῆς ψυχῆς ἔχοι ἂν τοῦτο τὸ ὄνομα.* Pol. II. 375. B: *ὡς ἄμαχόν τε καὶ ἀνίκητον θυμός.* IV. 440. C. Tim. 70. D. Legg. I. 649. D: *θυμός, ἔρως* cet. IX. 863. B: *θυμός, δύςερι καὶ δύςμαχον κτῆμα ἐμπεφυκός.* XI. 929. A: *ὃν ἂν θυμὸς ἐπίῃ μηδαμῶς εὐτυχής* cet. Def. 415. E: *θυμὸς ὁρμὴ βίαιος ἄνευ λογισμοῦ.* Prot. 351. A: *ἀπὸ μανίας γε καὶ ἀπὸ θυμοῦ.* Pol. IV. 441. A: *ὅτι θυμοῦ ... εὐθὺς γενόμενα μεστά ἐστι (τὰ παιδία).* IX. 586. D: *πλησμονὴν ... θυμοῦ διώκων.* X. 606. D. Tim. 70. B: *ὅτε ζέσειε τὸ τοῦ θυμοῦ μένος (v. γένος).* C: *τῇ τοῦ θυμοῦ ἐγέρσει.* Legg. V. 731. B: *τοῦτο ... ἄνευ θυμοῦ γενναίου ψυχὴ πᾶσα ἀδύνατος δρᾶν.* IX. 869. A: *ἐὰν ... τις εἰς τοσοῦτον ἀκρατὴς θυμοῦ γένηται* cet. XI. 934. D. al. Pol. IX. 586. C: *ὃς ἂν αὐτὸ τοῦτο διαπράττηται ... θυμῷ διὰ δυςκολίαν.* Legg. IX. 866. D: *(ἐὰν) θυμῷ ... ᾖ τὸ πεπραγμένον ἐκπραχθέν.* 867. B: *οἱ τῷ θυμῷ πραχθέντες φόνοι.* D. 868. A. XI. 935. A: *πράγματι ... ἀχαρίστῳ, θυμῷ, χαριζόμενος.* C: *τοὺς θυμῷ, ἑτέρῳ κακῷ, φιλοφρονουμένους.* Prot. 352. B: *τοτὲ μὲν θυμόν, τοτὲ δὲ ἡδονὴν* cet. Crat. 419. E: *τῇ ... ἐπὶ τὸν θυμὸν ἰούσῃ δυνάμει.* Pol. III. 411. B: *ἕως ἂν ἐκτήξῃ τὸν θυμόν.* Ib. *ἀσθενῆ ποιήσας τὸν θυμόν.* V. 465. A: *πληρῶν τὸν θυμόν.* Legg. IX. 867. A: *ὁ ... τὸν θυμὸν φυλάττων* cet. D: *κολάζων τὸν αὑτοῦ θυμόν.* 869. E: *τὰ ... κατὰ τὸν θυμὸν γιγνόμενα περὶ φόνους.* X. 888. A: *σβέσαντες τὸν θυμόν.* Prot. 323. E: *ἐπὶ τούτοις ... οἵ τε θυμοὶ γίγνονται καὶ αἱ κολάσεις* cet. Locr. 102. E: *θυμοὶ βαρεῖς.* Phil. 40. E: *περὶ φόβων τε καὶ θυμῶν.* 47. E: *τοῖς θυμοῖς καὶ ταῖς ὀργαῖς.* Legg. XI. 934. A: *(ἐν) θυμοῖς δυςιά-*

τοις γιγνομένοις. I. 633. D: *αἳ ... τοὺς θυμοὺς μαλάττουσαι κηρίνους ποιοῦσιν.* 645. D.

θυμοῦμαι, excandesco, irascor, et in univ. *vehementius commoveor, ferveo.* Prot. 323. D: *οὐδεὶς θυμοῦται.* 324. A: *ἔνθα δὴ πᾶς παντὶ θυμοῦται καὶ νουθετεῖ.* Pol. IX. 580. D: *τὸ δὲ ᾧ θυμοῦται (ἄνθρωπος).* Legg. IX. 865. D. Euth. 3. D: *θυμοῦνται.* Pol. IV. 436. A: *θυμούμεθα ... ἄλλῳ τῶν ἐν ἡμῖν.* 439. E. Pol. V. 465. A: *εἴ πού τίς τῳ θυμοῖτο.* Legg. IV. 717. D. X. 888. A: *ὑπὸ τοῦ θυμοῦσθαι τοῖς τοιούτοις.* Ep. VII. 349. A: *οἷα (χρώματα) ἂν θυμούμενος ἀφείη.* Pol. IV. 441. C: *τῷ ἀλογίστως θυμουμένῳ.* 440. B: *λοιδοροῦντά τε αὑτὸν καὶ θυμούμενον τῷ βιαζομένῳ ἐν αὑτῷ.* Legg. III. 692. A: *ἔτι σπαργῶσαν καὶ θυμουμένην τὴν ἀρχὴν ὁρῶν.* Tim. 70. C: *οἴδησις ... τῶν θυμουμένων.* Legg. IV. 717. D: *θυμουμένοις ... ὑπείκειν δεῖ.* XI. 936. A: *θυμουμένοισι μὴ ἐξέστω.* Ep. VII. 346. A: *τεθυμωμένοις.* Pol. VII. 536. C: *ὥσπερ θυμωθεὶς τοῖς αἰτίοις.* Legg. XI. 931. B: *θυμωθέντα.* Ep. VII. 348. A: *θυμωθέντες.*

θύρα, ἡ, ianua. Prot. 314. D: *ἐγκεκλημένης* (v. *ἐγκεκλεισμένης*) *τῆς θύρας.* 310. A: *τὴν θύραν τῇ βακτηρίᾳ πάνυ σφόδρα ἔκρουε.* 314. D. Conv. 174. E: *ἀνεῳγμένην καταλαμβάνειν τὴν θύραν.* Lys. 303. B. Charm. 153. E: *ἀποβλέψας πρὸς τὴν θύραν.* Conv. 203. D: *ἐπὶ θύραις καὶ ἐν ὁδοῖς ὑπαίθριος κοιμώμενος.* Legg. XI. 933. B. Phaedr. 233. E: *ἐπὶ τὰς θύρας ἥξουσι.* 245. A: *ὃς ... Μουσῶν ἐπὶ ποιητικὰς θύρας ἀφίκηται.* Phil. 62. C: *ἀναπετάσας τὰς θύρας.* Conv. 203. B: *ἦν περὶ τὰς θύρας.* 223. B: *κωμαστὰς ἥκειν ... ἐπὶ τὰς θύρας.* Pol. II. 364. B: *ἐπὶ πλουσίων θύρας ἰόντες.* Id. VI. 489. B. C. Legg. XII. 953. D. Alc. II. 143. E: *ἐλθόντα ἐπὶ τὰς θύρας.* Eryx. 398. E.

θύραζε, foras. Locr. 102. A: *ῥεῖ ... διὰ τῶ σώματος ἔξω θύραζε τὰ πνεύματα.*

θυραυλία, ἡ, in eo dicitur qui *sub dio degit.* Locr. 103. B: *ταὶ ... θυραυλίαι καὶ ἁπλαῖ τροφαὶ* cet.

θυραυλῶ, sub dio dego. Legg. III. 695. A: *δυναμένους θυραυλεῖν καὶ ἀγρυπνεῖν.* Polit. 272. A: *γυμνοὶ δὲ καὶ ἄστρωτοι θυραυλοῦντες τὰ πολλὰ ἐνέμοντο.*

θυρίς, ἡ, plur. *fores.* Pol. II. 359. D: *ἵππον χαλκοῦν ... θυρίδας ἔχοντα.*

θύρωμα, τό, ianua. Polit. 280. D: (*περὶ*) *τὰς τῶν θυρωμάτων πήξεις.*

θυρωρός, ὁ, ianitor. Prot. 314. C: *ὁ θυρωρός, εὐνοῦχός τις.* Phaed. 59. E. Phil. 62. C: *ὥσπερ θυρωρὸς ὑπ' ὄχλου τινὸς ὠθούμενος καὶ βιαζόμενος.* Ep. VII. 347. A.

θυσία, ἡ, sacrificium; etiam dies festus qui sacris celebratur (vern. *Opferfest*). Phaed. 61. B: *εἰς τὸν θεὸν ... οὗ ἦν ἡ παροῦσα θυσία.* Legg. VII. 800. B: *θυσίας γενομένης.* XII. 949. D: *περὶ θυσίας εἰρηνικῆς.* Alc. II. 150. C. Tim.

26. E: τῇ ... παρούσῃ τῆς θεοῦ θυσίᾳ. Conv. 174. C: θυσίαν ποιουμένου. Legg. VII. 799. A. 800. C. Alc. II. 151. A: τὴν θυσίαν ἀναβάλλεσθαι. Ep. VII. 349. D: ὡς τὰς γυναῖκας ... δέοι θῦσαι θυσίαν τινὰ δεχήμερον. Conv. 188. B: θυσίαι πᾶσαι. Pol. IV. 427. B. Legg. VII. 809. D: θυσίαι καὶ ἑορταί. VIII. 828. A. 835. E. Phil. 290. E: τῷ ... βασιλεῖ φασὶ ... τὰ σεμνότατα καὶ μάλιστα πάτρια τῶν ἀρχαίων θυσιῶν ἀποδεδόσθαι. Pol. II. 364. E: διὰ θυσιῶν καὶ παιδιᾶς ἡδονῶν. V. 461. A: οὐχ ὑπὸ θυσιῶν οὐδ' ὑπὸ εὐχῶν φύς. Legg. V. 738. D: μετὰ θυσιῶν. VI. 772. B: θυσιῶν τε καὶ χορειῶν. Id. VII. 804. A. IX. 871. C: διά τινων ἐπευχῶν καὶ θυσιῶν θεοῖς τισίν. XII. 947. A. 950. E. Conv. 197. D: ἐν θυσίαις γιγνόμενος ἡγεμών. Pol. II. 364. B: θυσίαις τε καὶ ἐπῳδαῖς. III. 394. A: ἐν ἱερῶν θυσίαις. X. 885. B: θυσίαις τε καὶ εὐχαῖς. XI. 935. B: ἔν τισι δημοτελέσι θυσίαις. Ion. 535. D: ἐν θυσίαις καὶ ἑορταῖς. Menex. 244. A: εὐχαῖς καὶ θυσίαις. Conv. 189. C: θυσίας ... ποιεῖν μεγίστας. 202. E: τῶν μὲν (ἀνθρώπων) τὰς δεήσεις καὶ θυσίας. Pol. I. 331. B: μηδ' αὖ ὀφείλοντα ἢ θεῷ θυσίας τινὰς ἢ ἀνθρώπῳ χρήματα. II. 362. C: θεοῖς θυσίας ... θύειν. IV. 419: θυσίας θεοῖς ἰδίας θύοντες. Critia 113. B: ἱερὰ θυσίας τε αὐτοῖς κατασκευάζοντες. Legg. I. 642. D. V. 738. C: θυσίας τελεταῖς συμμίκτους κατεστήσαντο. X. 908. C: καὶ περὶ θυσίας τε καὶ ὅρκους. 909. E: θυσίας εὔχεσθαι. Epin. 985. E: ἑορτάς τε αὐτοῖς γίγνεσθαι ... καὶ θυσίας. Alc. II. 148. E: οἵ πλείστας ... θυσίας καὶ καλλίστας τῶν Ἑλλήνων ἄγομεν. 149. C. 150. A. De lege 315. C: οἵας θυσίας θύουσιν Ἕλληνες ὄντες!

θύσις, ἡ, *fervor*. Crat. 419. E: θυμὸς ... ἀπὸ τῆς θύσεως καὶ ζέσεως τῆς ψυχῆς ἔχοι ἂν τοῦτο τὸ ὄνομα.

θύω, *sacrifico, macto; sacris celebro*. Alc. I. 121. C: βασιλέως γενέθλια ἅπασα θύει καὶ ἑορτάζει ἡ Ἀσία. Legg. VII. 801. A: τοῖς θεοῖς οἷς θύομεν ἑκάστοτε. Alc. II. 149. A: ὥστε καὶ ἀνάπηρα θύουσιν ἑκάστοτε. Phaedr. 251. A: θύοι ἂν ὡς ἀγάλματι καὶ θεῷ τοῖς παιδικοῖς. Legg. VIII. 828. B: ὅπως ἂν μία γέ τις ἀρχὴ θύῃ. VII. 791. A: οἷς ἂν καλλιεροῦντες ἕκαστοι θύωσιν. Polit. 290. E: τὰ μέγιστα ... θύματα ... θύειν. Pol. II. 362. C: θυσίας ... θύειν. Legg. IV. 716. D. al. Euth. 14. C: οὐκοῦν τὸ θύειν δωρεῖσθαί ἐστι τοῖς θεοῖς —; Alc. II. 149. E. De lege 315. B: ἀνθρώπους θύειν. Legg. X. 610: ὡς οὐ καθαρὸς ὢν θύων. Euth. 14. B. Legg. VIII. 828. A: θυούσῃ τῇ πόλει. VII. 803. E: θύοντα καὶ ᾄδοντα cet. Pol. IV. 419: θυσίας θεοῖς ἰδίας θύοντες. Legg. X. 887. D: θυόντων ἐν σπουδῇ τῇ μεγίστῃ τῶν αὐτῶν γονέων. VII. 821. D: εὐφημεῖν ... ἀεὶ θύοντας. VIII. 828. C: θύοντας ... ἔμμηνα ἱερά. Pol. I. 328. C: τεθυκὼς ... ἐτύγχανεν ἐν τῇ αὐλῇ. Lys. 206. E: κατελάβομεν αὐτόθι τεθυκότας ... τοὺς παῖδας. Legg. VII.

800. C: *δημοσίᾳ γάρ τινα θυσίαν ὅταν ἀρχή τις θύσῃ.* Euthyd. 302. A: *θῦσαι.* E. Ep. VII. 349. D. Legg. X. 910: *εἴτ᾽ ἐν δημοσίοις θύσας ἱερὰ θεοῖς οἱςτισινοῦν.* VII. 800. D: *τὴν θύσασαν ... πόλιν.* Pol. III. 415. E: *θύσαντες οἷς χρή.* Critia 119. E. Pol. II. 365. A: *μὴ θύσαντας δὲ δεινὰ περιμένει.* Legg. VII. 799. B: *τοῖς ἄλλοις πᾶσι θεοῖς θύσαντας.* X. 909. D: *πρὸς τὰ δημόσια ἴτω θύσων.* Med. *sacra instituo, sacra facienda* vel *mactandum curo.* Legg. I. 642. D: *ὃς ... θυσίας ... ἐθύσατό τινας.* Conv. 201. D: *Ἀθηναίοις θυσαμένοις πρὸ τοῦ λοιμοῦ.* Pol. II. 378. A: *θυσαμένους οὐ χοῖρον, ἀλλά τι ... ἄπορον θῦμα.* — Verb. Pol. II. 365. E: *θυτέον ἀπὸ τῶν ἀδικημάτων.*

θῶκος, v. *θᾶκος.*

θωπεία, ἡ, adulatio, pl. *blanditiae.* Legg. VI. 762. A: *ταῖς ... θωπείαις ὑπείκοντες.* X. 906. B: *δῆλον ὅτι ... πείθουσι θωπείαις λόγων.* XI. 923. B. Pol. IX. 579. D: *δοῦλος τὰς μεγίστας θωπείας καὶ δουλείας.* Legg. I. 633. D: *πρὸς ... ἡδονὰς καί τινας δεινὰς θωπείας κολακικάς.* XII. 948. C: *σμικρὰ δεχόμενοι θύματα καὶ θωπείας πολλάς.*

θώπευμα, τό, blandimentum. Pol. IX. 590. C: *τὰ θωπεύματα αὐτῶν ... μανθάνειν.*

θωπευτικός, ή, όν, blandus. Legg. I. 634. A: *πρὸς τὰ ... θωπευτικὰ ἀδυνατοῦσαν (ἀντιβαίνειν).*

θωπεύω, blandior, mulceo. Pol. VIII. 563. A: *φοιτητὰς φοβεῖται καὶ θωπεύει.* IX. 579. A: *οὐκοῦν ἀναγκάζοιτο ἄν τινας ἤδη θωπεύειν αὐτῶν τῶν δούλων —;* Crit. 51. B: *θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα.* Theaet. 173. A: *ἐπιστάμενοι τὸν δεσπότην λόγῳ ... θωπεῦσαι.* Ep. III. 315. B: *αὐτῷ τούτῳ θωπεύσας τῷ ῥήματι.*

θώραξ, ὁ, thorax (pectus). Tim. 69. E: *διοικοδομοῦσι τοῦ θώρακος αὖ τὸ κύτος.* Ib. *ἐν ... τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι.* **lorica.* Ep. XIII. 363. A: *Κρατίνῳ ... θώρακα δωρησόμεθα ὁπλιτικὸν τῶν μάλα καλῶν τῶν πεζῶν.* C: *ἂν τὸν θώρακα ... πέμπῃς.*

θώψ, ὁ, adulator; adi. *blandus.* Theaet. 175. E: *μηδὲ ὄψον ἡδῦναι ἢ θῶπας λόγους.*

I.

ἰῶτα, τό. Crat. 418. C: *νῦν ... ἀντὶ ... τοῦ ἰῶτα ἢ εἶ* (v. *ε̄*) *ἢ ἦτα μεταστρέφουσιν.* B: *οἶσθα ὅτι οἱ παλαιοὶ οἱ ἡμέτεροι τῷ ἰῶτα καὶ τῷ δέλτα εὖ μάλα ἐχρῶντο.* 426. E: *τῷ δ᾽ αὖ ἰῶτα πρὸς τὰ λεπτὰ πάντα, ἃ δὴ μάλιστα διὰ πάντων ἴοι ἂν (φαίνεταί μοι κατακεχρῆσθαι).* 399. B: *τό τε ἕτερον αὐτόθεν ἰῶτα ἐξείλομεν.* 407. B. 419. A. 421. B.

ἴαμα, τό, sanatio; medela. Tim. 66. C: *προσφιλὲς παντὶ πᾶν τὸ τοιοῦτον ἴαμα τῶν βιαίων παθημάτων γιγνόμενον.* Legg. VI. 771. C: *αὕτη δ' ἔχει σμικρότατον ἴαμα.* XII. 957. E: *θάνατον ἴαμα ταῖς οὕτω διατεθείσαις ψυχαῖς διανέμοντες.* VII. 790. D: *αἱ περὶ τὰ τῶν Κορυβάντων ἰάματα τελοῦσαι.*

ἰαμβεῖον, τό, iambus. Euthyd. 291. D: *κατὰ τὸ Αἰσχύλου ἰαμβεῖον.* Pol. II. 380. A: *ἐν οἷς ταῦτα τὰ ἰαμβεῖα ἔνεστι.* X. 602. B: *τοὺς ... τῆς τραγικῆς ποιήσεως ἁπτομένους ἐν ἰαμβείοις καὶ ἐν ἔπεσι.*

ἴαμβος, ὁ, iambus; pl. *carmina iambica.* Pol. III. 400. B: *καὶ ... ἴαμβον καί τιν' ἄλλον τροχαῖον ὠνόμαζε.* Legg. XI. 935. E: *ποιητῇ ... κωμῳδίας ἢ τινος ἰάμβων ἢ (ἢ ἰάμβων ἤ τινος?) Μουσῶν μελῳδίας.* Ion. 534. C: *ὁ δ' ἔπη, ὁ δ' ἰάμβους (οἷός τε ποιεῖν).*

ἰάσιμος, ὁ, ἡ, sanabilis (etiam trop.). Gorg. 526. B: *ἐάν τε ἰάσιμος ἐάν τε ἀνίατος δοκῇ εἶναι.* Legg. IX. 878. C: *ἂν τὸ τραῦμα ἰάσιμον ἀποβῇ.* XII. 941. E: *ὡς ἰασίμῳ ἐκ τῶν εἰκότων ὄντι.* Ib. *τὸν μὲν ἴσως ἂν ἰάσιμον ἔτ' εἶναι, τὸν δ' ἀνίατον.* 957. E: *ὅσοις ἰάσιμοι δόξαι τῶν κακῶν.* Gorg. 525. B: *οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμάρτωσιν.* Phaed. 113. E. Legg. V. 731. D: *τὸν ... ἰάσιμα (κακὰ) ἔχοντα.*

ἴασις, ἡ, sanatio; remedium. Legg. IX. 862. C: *τὸ δὲ τῆς ἰάσεως ἡμῖν τῆς ἀδικίας τῇδε ῥέπειν χρὴ φάναι.* Phaedr. 248. D: *ἢ περὶ σώματος ἴασίν τινα ἐσομένου.* Conv. 188. C: *περὶ Ἔρωτος φυλακήν τε καὶ ἴασιν.* Pol. VII. 515. C: *σκόπει ... αὐτῶν λύσιν τε καὶ ἴασιν τῶν τε δεσμῶν καὶ τῆς ἀφροσύνης.* Legg. I. 635. A: *ἴασιν ἐξ αὐτοῦ συμβαίνει γίγνεσθαι τῷ μὴ φθόνῳ τὰ λεγόμενα, ἀλλ' εὐνοίᾳ δεχομένῳ.* VII. 790. E: *καθάπερ αἱ τῶν ἐκφρόνων βακχειῶν ἰάσεις.* Phil. 46. A: *τὰς τῆς ψώρας ἰάσεις τῷ τρίβειν.*

ἴασπις, ἡ, iaspis. Phaed. 110. D: *σάρδιά τε καὶ ἰάσπιδας* cet.

ἰαστί, dorice, dorico modo. Lach. 188. D: *ἀτεχνῶς δωριστί, ἀλλ' οὐκ ἰαστί (ἡρμοσμένος αὐτὸς αὑτοῦ τὸν βίον).* Est quoque i. q. *ἡ ἰαστί (ἁρμονία).* Pol. III. 398. E: *ἰαστὶ ... καὶ λυδιστί, αἵτινες (ἁρμονίαι) χαλαραὶ καλοῦνται.*

ἰατός, ή, όν, qui *sanari,* etiam qui *sarciri potest.* Legg. XII. 949. D: *ἰατὴν εἶναι τὴν πρώτην ἀνάγκην τῆς ζημίας* (si sana script.). IX. 862. C: *τούτων ὁπόσα ... ἰατά.* V. 731. C: *ὅσοι ἀδικοῦσι μέν, ἰατὰ δέ.*

ἰατρεῖον, τό, medici officina. Pol. III. 405. A: *ἆρ' οὐ δικαστήριά τε καὶ ἰατρεῖα πολλὰ ἀνοίγεται —;* Legg. IV. 720. C: *ἐν τοῖς ἰατρείοις περιμένοντες.* I. 646. C: *τοὺς εἰς τὰ ἰατρεῖα αὑτοὺς βαδίζοντας.*

ἰάτρευσις, ἡ, medicina. Pol. II. 357. C: *ἰάτρευσίς τε καὶ ὁ ἄλλος χρηματισμός.*

ἰατρεύω, sano, medeor; etiam *emendo.* Legg. IX. 857. D:

οὐκ ἰατρεύεις τὸν νοσοῦντα, ἀλλὰ σχεδὸν παιδεύεις. IV. 720. C: *τοὺς ... δούλους σχεδόν τι οἱ δοῦλοι τὰ πολλὰ ἰατρεύουσι περιτρέχοντες* cet. Conv. 188. C: *ἰατρεύειν.* Ep. IV. 320. E: *σὺ φαίνου ἰατρεύων.* Legg. V. 728. C: *ὁ μὲν οὐκ ἰατρευόμενος, ὁ δὲ ... ἀπολλύμενος.* VIII. 843. C. IX. 857. C: *δούλοις ὡς ἰατρευομένοις ὑπὸ δούλων.* — Med. *sanandum me curo.* Gorg. 478. B: *ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι καὶ χαίρουσιν οἱ ἰατρευόμενοι;* 479. A. Pol. II. 357. C: *τὸ κάμνοντα ἰατρεύεσθαι.* Gorg. 478. B: *ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι καὶ χαίρουσιν οἱ ἰατρευόμενοι;* 479. A. Pol. II. 357. C: *τὸ κάμνοντα ἰατρεύεσθαι.* Gorg. 478. C: *ἰατρευόμενος.* D. Pol. III. 406. B. C: *οὐδενὶ σχολὴ διὰ βίου κάμνειν ἰατρευομένῳ.* Polit. 296. B: *μὴ πείθων τὸν ἰατρευόμενον.* Pol. IV. 426. A: *ἰατρευόμενοι ... οὐδὲν περαίνουσι.*

ἰατρικός, ή, όν, *medicus; ad medendum aptus; medicinae* vel *sanandi* atque etiam *curandi* vel *emendandi peritus*; fem. et neutr. *medicina.* Prot. 313. E: *ἐὰν μή τις τύχῃ περὶ τὴν ψυχὴν αὖ ἰατρικὸς ὤν.* Pol. X. 599. C: *εἰ ἰατρικὸς ἦν τις αὐτῶν.* Legg. XII. 963. B: *ἰατρικὸς νοῦς.* Charm. 171. B. Gorg. 449. E: *ἡ ἰατρική.* 478. D: *ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη;* 517. E: *ὅτι ἔστι τις ... τέχνη γυμναστική τε καὶ ἰατρική.* Soph. 229. A: *περὶ ... νόσον ἰατρική.* Conv. 186. C: *ἔστι γὰρ ἰατρικὴ ... ἐπιστήμη τῶν τοῦ σώματος ἐρωτικῶν πρὸς πλησμονὴν καὶ κένωσιν.* E. Pol. I. 341. E: *διὰ ταῦτα καὶ ἡ τέχνη ἐστὶν ἡ ἰατρικὴ νῦν εὑρημένη.* 342. A: *αὐτὴ ἡ ἰατρική ἐστι πονηρά —;* 346. A: *οἷον ἰατρικὴ ... ὑγίειαν (παρέχεται).* V. 455. E: *ἔστι ... καὶ γυνὴ ἰατρική, ἡ δ' οὔ.* Charm. 165. C. 171. A: *καὶ ἡ ἰατρικὴ δὴ ἑτέρα εἶναι τῶν ἄλλων ἐπιστημῶν ὡρίσθη τῷ τοῦ ὑγιεινοῦ εἶναι καὶ νοσώδους ἐπιστήμη.* 174. C. Eryx. 401. C: *ἔστιν ... ἡ ἰατρικὴ τῶν ἐπιστημῶν ἡ πρὸς τοῦτο χρησίμη, πρὸς τὸ νόσους ἀπαλλάττειν.* Crat. 186. C: *καὶ τοῦτό ἐστιν ᾧ ὄνομα τὸ ἰατρικόν.* Tim. 89. B. Pol. I. 350. A: *ἰατρικοῦ ... ἢ ἀνδρὸς ἢ πράγματος.* Prot. 345. A: *ἡμεῖς ... οἱ ἰατρικῆς ἰδιῶται.* Phaedr. 269. A: *τὰ πρὸ ἰατρικῆς.* Soph. 226. E. Polit. 299. B: *ἄν τις ... ἰατρικῆς ἀλήθειαν ... ζητῶν φαίνηται παρὰ τὰ γράμματα.* Conv. 176. D. 186. A. Tim. 24. C. Legg. I. 628. D: *κάμνον σῶμα ἰατρικῆς καθάρσεως ... τυχόν.* Gorg. 464. B: *ἀντίστροφον ... τῇ ἰατρικῇ τὴν δικαιοσύνην (λέγω).* Polit. 289. A. 299. C. Conv. 187. E: *ἐν ἰατρικῇ.* Pol. I. 342. C. III. 406. A: *μίξας γυμναστικὴν ἰατρικῇ.* IV. 454. D: *ἰατρὸν ... καὶ ἰατρικὸν τὴν ψυχὴν ὄντα.* Legg. XII. 963. A: *νοῦν ... ἰατρικόν.* Alc. I. 134. E. Prot. 322. C: *εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις.* Gorg. 464. B: *τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν.* Crat. 405. A: *ἰατρικὴν καὶ τοξικήν.* Conv. 197. A. Pol. IV. 438. E. Legg. IV. 709. B. Charm. 158. E. Eryx. 404. E: *τὴν ἰατρικὴν ἐπιστήμην.* Polit. 299. C: *οὐδένα ... ἀγνοεῖν τό τε ἰατρικὸν καὶ τὸ ὑγιεινόν.*

De lege 316. E: *ἰατρικοὶ νόμοι.* Polit. 295. D: *ὡς ταῦτα ὄντα ἰατρικὰ καὶ ὑγιεινά.* Crat. 394. C: *καὶ ἰατρικά γε ἕτερα (ὀνόματα).* De lege 316. E. Pol. X. 599. C: *μιμητὴς ... ἰατρικῶν λόγων.* Polit. 298. C: *καθ' ὅ τι χρὴ ... τοῖς ἰατρικοῖς ὀργάνοις πρὸς τοὺς κάμνοντας χρῆσθαι.* Crat. 405. A: *αἱ τοῖς ἰατρικοῖς φαρμάκοις ... περιθειώσεις.* Tim. 79. E: *τὰ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων.* Phaedr. 269. A: *ἀλλ' οὐ τὰ ἰατρικά (ἐπίστασθαι).* Crat. 416. D: *τὸ ... ἰατρικὸν ἰατρικὰ ἐργάζεται.* Hipp. min. 375. B: *οὐχὶ ἡ ἑκοῦσα κακὰ ἐργαζομένη περὶ τὰ σώματα ἰατρικωτέρα;* Conv. 186. D: *οὗτός ἐστιν ὁ ἰατρικώτατος.*

ἰατρός, ὁ, medicus; etiam *qui aliquid emendat* vel *aliqua re liberat.* Prot. 340. E: *καὶ εἰμί τις γελοῖος ἰατρός.* 357. E: *ἧς (ἀμαθίας) Πρωταγόρας ὅδε φησὶν ἰατρὸς εἶναι* cet. Phaedr. 268. B. Crat. 405. B: *ὡς ἰατρὸς ὢν τῶν τοιούτων.* Conv. 189. D: *ἰατρὸς τούτων ὢν* cet. 214. B: *ἰητρὸς ... ἀνήρ* (Hom.). Pol. I. 332. E. 341. C: *ὁ τῷ ἀκριβεῖ λόγῳ ἰατρός.* Legg. IV. 720. A. X. 903. C.: *πᾶς ... ἰατρὸς καὶ πᾶς ἔντεχνος δημιουργὸς* cet. Charm. 164. A. Ion. 531. E. Pol. III. 406. D: *παρὰ τοῦ ἰατροῦ φάρμακον πιών.* V. 459. C: *ὅτι ἀνδρειοτέρου δεῖ τοῦ ἰατροῦ.* Legg. VI. 761. D. Pol. III. 406. D: *χαίρειν εἰπὼν τῷ τοιούτῳ ἰατρῷ.* Legg. X. 902. D. Charm. 155. B: *ὅτι βούλομαι αὐτὸν ἰατρῷ συστῆσαι περὶ τῆς ἀσθενείας* cet. Phaedr. 252. A: *τὸν τὸ κάλλος ἔχοντα ἰατρὸν εὕρηκε μόνον τῶν μεγίστων πόνων.* Pol. I. 340. D. Legg. IX. 857. D. Pol. III. 408. D: *ἰατροὶ ... δεινότατοι ἂν γένοιντο εἰ* cet. VIII. 567. C. Legg. IV. 720. A. Gorg. 455. A: *ὅταν περὶ ἰατρῶν αἱρέσεως ᾖ τῇ πόλει σύλλογος.* Crat. 394. A: *τὰ τῶν ἰατρῶν φάρμακα.* Pol. II. 373. D: *οὐκοῦν καὶ ἰατρῶν ἐν χρείαις ἐσόμεθα —;* III. 405. A: *τὸ δεῖσθαι ἰατρῶν καὶ δικαστῶν ἄκρων.* VI. 489. C: *ἀναγκαῖον εἶναι ἐπὶ ἰατρῶν θύρας ἰέναι.* Tim. 88. A: *τῶν λεγομένων ἰατρῶν ἀπατῶσα τοὺς πλείστους.* Legg. IX. 865. B. al. Pol. III. 389. B: *ὅτι τό γε τοιοῦτον ἰατροῖς δοτέον, ἰδιώταις δὲ οὐχ ἁπτέον.* Legg. X. 905. E. 906. E. Theaet. 167. B: *τοὺς σοφοὺς ... κατὰ μὲν σώματα ἰατροὺς λέγω* cet. Legg. IV. 720. A. Charm. 156. E. al.

ἰδανικός, ή, όν, in specie exstans. Locr. 97. D: *τὸν ἰδανικὸν κόσμον.*

ἰδέ, et. Pol. V. 468. E. (Hom.).

ἰδέα, ἡ, species vel *forma sub oculos cadens* (vern. *Gestalt*). Phaedr. 246. A: *περὶ ... τῆς ἰδέας αὐτῆς (τῆς ψυχῆς) ὧδε λεκτέον.* Conv. 196. A: *συμμέτρου δὲ καὶ ὑγρᾶς ἰδέας μέγα τεκμήριον ἡ εὐσχημοσύνη.* Alc. I. 119. C: *ὡς ἀνάξιον τῆς ἰδέας* cet. Charm. 158. A: *τὰ ... ὁρώμενα τῆς ἰδέας ... δοκεῖς μοι οὐδένα τῶν προγόνων καταισχύνειν.* 157. A: *οὐ μόνον τῇ ἰδέᾳ ἐδόκει διαφέρειν.* Prot. 315. E: *τὴν ... ἰδέαν πάνυ καλός.* Phaedr. 251. A: *ἤ τινα σώματος ἰδέαν (θεο-*

ειδῆ). Phaed. 108. D: τὴν ... ἰδέαν τῆς γῆς ... οὐδέν με κωλύει λέγειν. Pol. IX. 588. C: πλάττε ... μίαν ... ἰδέαν θηρίου ποικίλου cet. D: μίαν ... ἄλλην ἰδέαν λέοντος, μίαν δὲ ἀνθρώπου. C: καὶ ἄλλαι τινὲς συχναὶ λέγονται ξυμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. II. 380. D: φαντάζεσθαι ἄλλοτε ἐν ἄλλαις ἰδέαις. Tim. 77. A. Phaed. 109. B: πολλὰ κοῖλα καὶ παντοδαπὰ καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη. Polit. 291. B: ταχὺ δὲ μεταλλάττουσι (v. μεταβάλλουσι) τάς τε ἰδέας καὶ τὴν δύναμιν εἰς ἀλλήλους. *forma* in univ. vel *species*, i. q. Lat. *genus* vel *natura* (vern. *Wesen*, *Potenz* vel simile quid); saepius vero ita ponitur ut orationem amplificet (v. Timaei locc. infra poss.). Phaed. 104. D: ἃ ἂν ἡ τῶν τριῶν ἰδέα κατάσχῃ, ἀνάγκη αὐτοῖς οὐ μόνον τρισὶν εἶναι, ἀλλὰ καὶ περιττοῖς. Ib. ἐπὶ τὸ τοιοῦτον ... ἡ ἐναντία ἰδέα ἐκείνῃ τῇ μορφῇ ... οὐδέποτ' ἂν ἔλθοι. Theaet. 204. A: μία ἰδέα ἐξ ἑκάστων τῶν συναρμοττόντων στοιχείων γιγνομένη ἡ συλλαβή. 205. C. D: εἴπερ μέρη τε μὴ ἔχει καὶ μία ἐστὶν ἰδέα. Crat. 418. E: ἀγαθοῦ ... ἰδέα οὖσα τὸ δέον φαίνεται δεσμὸς εἶναι cet. Pol. VI. 507. E: οὐ σμικρὰ ... ἰδέα ἡ τοῦ ὁρᾶν αἴσθησις cet. Parm. 157. D: μιᾶς τινὸς ἰδέας καὶ ἑνός τινος, ὃ καλοῦμεν ὅλον ... τούτου μόριον ἂν τὸ μόριον εἴη. Crat. 439. E: μηδὲν ἐξιστάμενον τῆς αὑτοῦ ἰδέας. Pol. II. 380. D: ἢ ἁπλοῦν τε εἶναι καὶ πάντων ἥκιστα τῆς ἑαυτοῦ ἰδέας ἐκβαίνειν. Legg. VIII. 836. D: ἢ ... τὸ τῆς σώφρονος ἰδέας γένος (ἐμφύσεται); Pol. II. 369. A: τὴν τοῦ μείζονος ὁμοιότητα ἐν τῇ τοῦ ἐλάττονος ἰδέᾳ ἐπισκοποῦντες. Hipp. mai. 297. B: κινδυνεύει ... ἐν πατρός τινος ἰδέᾳ (alias σχήματι) εἶναι τὸ καλὸν τοῦ ἀγαθοῦ. Phaedr. 253. B: εἰς τὸ ἐκείνου ἐπιτήδευμα καὶ ἰδέαν ἄγουσιν. Phaed. 104. B: οὐδὲ ταῦτα ἔοικε δεχομένοις ἐκείνην τὴν ἰδέαν ἢ ἂν τῇ ἐν αὐτοῖς οὔσῃ ἐναντία ᾖ. Theaet. 184. D: εἰ ... μὴ εἰς μίαν τινὰ ἰδέαν, εἴτε ψυχὴν εἴτε ὅ τι δεῖ καλεῖν, πάντα ταῦτα ξυντείνει, ᾗ διὰ τούτων οἷον ὀργάνων αἰσθανόμεθα ὅσα αἰσθητά. Polit. 308. C: ἐκ τούτων ... μίαν τινὰ δύναμιν καὶ ἰδέαν δημιουργεῖ. Conv. 204. C: τὸ δὲ ἐρῶν ἄλλην ἰδέαν τοιαύτην ἔχον, οἵαν ἐγὼ διῆλθον. Pol. VIII. 544. C: ἤ τινα (al. ἤ τίνα) ἄλλην ἔχεις ἰδέαν πολιτείας, ἥτις καὶ ἐν εἴδει διαφανεῖ τινὶ κεῖται; Tim. 49. C: εἰς ἰδέαν ... ἀπιὸν αὖθις ἀέρος. 58. D: (διὰ) τὴν τοῦ σχήματος ἰδέαν. 59. C: τὴν τῶν εἰκότων μύθων μεταδιώκοντα ἰδέαν. 70. C: τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν. 71. A: αὐτῷ τὴν τοῦ ἥπατος ἰδέαν ξυνέστησε. Phaedr. 237. D: ὅτι ἡμῶν ἐν ἑκάστῳ δύο τινὲ ἐστον ἰδέα ἄρχοντε καὶ ἄγοντε. Pol. X. 596. B: ἰδέαι ... περὶ ταῦτα τὰ σκεύη δύο, μία μὲν κλίνης, μία δὲ τραπέζης. Phaedr. 238. A: τούτων τῶν ἰδεῶν ἐκπρεπὴς ἣ ἂν τύχῃ γενομένη. Tim. 50. D: ἄμορφον ὂν ἐκείνων ἁπασῶν τῶν ἰδεῶν ὅσας μέλλοι (v. μέλλει) δέχεσθαί ποθεν. Polit. 307. C: οἷον πολεμίας διαλαχούσας στάσιν ἰδέας.

*sensu philosopho est *forma* vel *species rerum quae ratione et intelligentia continetur*, h. e. *aeterna* et *immutabilis*, *exemplum* (vern. *Urbild, Idee, Wesen an sich.* Cf. *εἶδος* Vol. I. p. 607); et sensu qui dicitur logico est *notio communis* vel *generalis* (quae Platoni non est notio a rebus abstracta, sed ipsa rei natura animo spectata vel cogitata). Parm. 132. A: *μία τις ἴσως δοκεῖ ἰδέα ἡ αὐτὴ* (v. *αὕτη*) *εἶναι ἐπὶ πάντα ἰδόντι, ὅθεν ἓν τὸ μέγα ἡγεῖ εἶναι.* Pol. VI. 505. A: *ὅτι γε ἡ τοῦ ἀγαθοῦ ἰδέα μέγιστον μάθημα.* VII. 517. B: *ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι.* C: *ὡς ... πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία.* Phil. 64. E: *εἰ μὴ μιᾷ δυνάμεθα ἰδέᾳ τὸ ἀγαθὸν θηρεῦσαι.* Euthyd. 6. D: *μιᾷ ἰδέᾳ τά τε ἀνόσια ἀνόσια εἶναι καὶ τὰ ὅσια ὅσια.* Phaedr. 265. D: *εἰς μίαν ... ἰδέαν συνορῶντα ἄγειν τὰ πολλαχῇ διεσπαρμένα.* Soph. 253. D: *μίαν ἰδέαν διὰ πολλῶν ... πάντῃ διατεταμένην ἱκανῶς διαισθάνεται.* Parm. 132. C: *οὐχ ἑνός τινος, ὃ ἐπὶ πᾶσιν ἐκεῖνο τὸ νόημα ἐπὸν νοεῖ, μίαν τινὰ οὖσαν ἰδέαν;* Phil. 16. D. 64. A. Pol. V. 479. A: *ὃς αὐτὸ μὲν καλὸν καὶ ἰδέαν τινὰ αὐτοῦ κάλλους μηδεμίαν ἡγεῖται ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχουσαν.* VI. 486. D: *ἐπὶ τὴν τοῦ ὄντος ἰδέαν.* 508. E: *τοῦτο τοίνυν τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις καὶ τῷ γιγνώσκοντι τὴν δύναμιν ἀποδιδὸν τὴν τοῦ ἀγαθοῦ ἰδέαν φαθὶ εἶναι, αἰτίαν δ' ἐπιστήμης οὖσαν καὶ ἀληθείας* cet. VII. 526. E. 534. B. Tim. 46. C: *τὴν τοῦ ἀρίστου κατὰ τὸ δύνατον ἰδέαν ἀποτελῶν.* Parm. 133. C: *οὐκοῦν ὅσαι τῶν ἰδεῶν πρὸς ἀλλήλας εἰσὶν αἵ εἰσιν, αὐταὶ πρὸς αὑτὰς τὴν οὐσίαν ἔχουσιν, ἀλλ' οὐ πρὸς τὰ παρ' ἡμῖν εἴτε ὁμοιώματα εἴτε ὅπῃ δή τις αὐτὰ τίθεται;* Pol. VI. 507. B: *τὰς δ' ... ἰδέας νοεῖσθαι μέν, ὁρᾶσθαι δ' οὔ.* al.

ἰδεῖν, v. **εἶδον** Vol. I. p. 603.

ἰδίᾳ, *proprie*; *separatim* vel *specialiter*; *privatim*. Prot. 343. B: *καὶ τοῦ Πιττακοῦ ἰδίᾳ περιεφέρετο τοῦτο τὸ ῥῆμα* cet. Gorg. 514. C: *πολλὰ καὶ ἰδίᾳ ὑφ' ἡμῶν.* Theaet. 177. B: *ἂν ἰδίᾳ λόγον δέῃ δοῦναι* cet. Soph. 218. B: *καὶ ταῦτα μὲν ἰδίᾳ βουλεύσει* cet. Crat. 385. D: *οὕτω ... καὶ ταῖς πόλεσιν ὁρῶ ἰδίᾳ ἑκάσταις ἐνίοτ' ἐπὶ τοῖς αὐτοῖς κείμενα ὀνόματα.* E: *ἰδίᾳ αὐτῶν ἡ οὐσία εἶναι ἑκάστῳ.* 413. A. Pol. I. 344. A: *ὅσῳ μᾶλλον ξυμφέρει ἰδίᾳ αὐτῷ ἄδικον εἶναι ἢ δίκαιον.* II. 360. C: *ὡς οὐκ ἀγαθοῦ ἰδίᾳ ὄντος.* IV. 420. A: *ἂν ἀποδημῆσαι βούλωνται ἰδίᾳ.* VI. 507. D: *ἰδίᾳ ἐπ' αὐτὸ τοῦτο πεφυκός (γένος).* VIII. 556. D: *ὅταν ἰδίᾳ ξυγγίγνωνται.* IX. 575. E: *οὐκοῦν ... οὗτοί γε τοιοίδε γίγνονται ἰδίᾳ καὶ πρὶν ἄρχειν;* X. 605. B. Legg. II. 666. E: *ἱπποκόμον ... ἐπέστησεν ἰδίᾳ.* V. 729. A: *στάσεις ἀπεργάζεται ταῖς πόλεσι καὶ ἰδίᾳ.* VII. 788. A: *ἰδίᾳ ... καὶ κατ' οἰκίας.* 800. B. VIII. 836. B: *ἰδίᾳ καὶ ὅλαις πόλεσι.* XII. 955. E: *ἰδίᾳ τε καὶ ἐν ἱεροῖς.* Apol. 31. B: *ἰδίᾳ ἑκάστῳ προσιόντα.* 36. C. Alc. I. 122. E: *ὅσον ἐν Λακεδαίμονι ἰδίᾳ.* 134. C:

ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὑτοῦ ... ἄρξειν ... ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως. Menex. 249. B: ἅπερ ἰδίᾳ ἑκάστῳ ἴδια γίγνεται. — Poetis oppos. designat orationis auctores pedestris vel prosae. Pol. II. 363. E: ἄλλο ... εἶδος λόγων ... ἰδίᾳ τε λεγόμενον καὶ ὑπὸ ποιητῶν. — Praecipue inter se opponuntur atque etiam iunguntur ἰδίᾳ et δημοσίᾳ. Prot. 324. C: ὅσοιπερ τιμωροῦνται καὶ ἰδίᾳ καὶ δημοσίᾳ. 325. B: καὶ ἰδίᾳ καὶ δημοσίᾳ. Phaedr. 244. B: ἰδίᾳ τε καὶ δημοσίᾳ. 277. D: ἰδίᾳ ἢ δημοσίᾳ. Theaet. 174. B. Soph. 222. D. Pol. II. 362. B. al. Similiter ἰδίᾳ et κοινῇ. Polit. 275. C: οὐ μὴν ἰδίᾳ γε, ἀλλὰ κοινῇ τὴν ἐπιμέλειαν ἔχουσαν. Pol. I. 333. D: καὶ κοινῇ καὶ ἰδίᾳ. Legg. XII. 946. D: τὰ μὲν ἰδίᾳ ἕκαστος, τὰ δὲ καὶ κοινῇ μετ' ἀλλήλων κρίναντες. Hipp. mai. 300. A: ὃ καὶ ἀμφοτέραις αὐταῖς ἔπεστι κοινῇ καὶ ἑκατέρᾳ ἰδίᾳ. Menex. 236. D. al.

ἰδιογενής, ὁ ἡ, *ex proprio genere natus.* Polit. 265. E: πότερα κοινογενοῦς φύσεως, ἢ τινος ἰδιογενοῦς;

ἰδιογονία, ἡ, *propria generatio.* Polit. 265. D: τῇ κοινογονίᾳ τε καὶ ἰδιογονίᾳ.

ἰδιοθηρευτικός, ή, όν, *ad privatam venationem pertinens;* ἡ ἰδ. *privata venatio.* Soph. 222. D: οὐκοῦν ... τῆς ἰδιοθηρευτικῆς τὸ μὲν μισθαρνευτικόν τί ἐστι, τὸ δὲ δωροφορικόν;

ἰδιοθηρία, ἡ, *venatio privata.* Soph. 223. B: ἰδιοθηρίας.

ἰδιολογοῦμαι, *privatim cum aliquo loquor.* Theag. 121. A: ἐδεόμην ἄττα σοι ἰδιολογήσασθαι.

ἰδιοπραγία, ἡ, *rerum privatarum procuratio.* Legg. IX. 875. B: ἀλλ' ἐπὶ πλεονεξίαν καὶ ἰδιοπραγίαν ἡ θνητὴ φύσις αὐτὸν ὁρμήσει ἀεί.

ἴδιος, α, ον et ὁ ἡ, *proprius; peculiaris* (sq. ἢ verti potest *diversus*); *privatus;* etiam in oratione ponitur prosa. Pol. VII. 535. B: ἴδιος, ἀλλ' οὐ κοινὸς ὢν μετὰ τοῦ σώματος (ὁ πόνος). Prot. 349. B: ἢ ἑκάστῳ τῶν ὀνομάτων τούτων ὑπόκειταί τις ἴδιος οὐσία —; Pol. IX. 580. D: ἑνὸς ἑκάστου μία ἰδία (ἡδονή). Theaet. 154. A: μεταξύ τι ἑκάστῳ ἴδιον γεγονός. Pol. V. 455. B: ὅτι οὐδέν ἐστιν ἐπιτήδευμα ἴδιον γυναικὶ πρὸς διοίκησιν πόλεως. Legg. V. 739. C: τὸ λεγόμενον ἴδιον. Clit. 409. D: ὅτι τοῦτ' εἴη τὸ τῆς δικαιοσύνης ἴδιον ἔργον ὃ τῶν ἄλλων οὐδεμιᾶς. Ep. XIII. 361. E: ἐὰν δέ τι ἄλλο γίγνηται ἴδιον ἢ δημόσιον ἀνάλωμα cet. Phaed. 101. C: μετασχὸν τῆς ἰδίας οὐσίας ἑκάστου, οὗ ἂν μετάσχῃ. Polit. 300. A: ἢ (ἕνεκα) χάριτος ἰδίας. Pol. X. 610. A: ἄνευ τῆς ἰδίας πονηρίας. Legg. VII. 790. B. Gorg. 502. E: ἕνεκα τοῦ ἰδίου τοῦ αὐτῶν ὀλιγωροῦντες τοῦ κοινοῦ. Pol. IX. 580. E: ἑνὶ οὐκ ἔχομεν ὀνόματι προσειπεῖν ἰδίῳ αὐτοῦ. Phil. 33. D: καί τινα ὥσπερ σεισμὸν ἐντιθέντα ἴδιόν τε καὶ κοινὸν ἑκατέρῳ. Tim. 83. C: ἔσχε λόγον αὐτῶν ἕκαστον ἴδιον. Gorg. 484. D: ἐπειδὰν ... ἔλθωσιν

εἴς τινα ἰδίαν ἢ πολιτικὴν πρᾶξιν. Soph. 257. C: *ἐπωνυμίαν ἴσχει τινὰ ἑαυτῆς ἰδίαν.* Polit. 272. C: *εἴ τινά τις ἰδίαν δύναμιν ἔχουσα ᾔσθετό τι διάφορον τῶν ἄλλων.* 305. B: *τὴν αὑτῆς ἰδίαν ἀρετὴν παρεχομένη.* Crat. 387. D: *αὑτῶν τινὰ ἰδίαν φύσιν ἔχουσαι.* Pol. I. 346. A. C. al. Gorg. 481. C: *ἀλλά (εἰ) τις ἡμῶν ἴδιόν τι ἔπασχε πάθος ἢ οἱ ἄλλοι.* Pol. VIII. 543. B: *ἴδιον οὐδὲν οὐδενὶ ἐχούσας, κοινὰς δὲ πᾶσι (οἰκήσεις).* 547. D: *τὸ δέ τι καὶ αὑτῆς ἕξει ἴδιον.* Lys. 205. B: *ἴδιον ... μηδὲν ἔχειν λέγειν, ὃ οὐχὶ κἂν παῖς εἴποι.* Critia 120. C: *νόμοι ... πολλοὶ μὲν ἄλλοι ... ἦσαν ἴδιοι* cet. Legg. VI. 768. B: *τῶν ἰδίων δικῶν κοινωνεῖν.* XII. 961. B: *τῶν ἄλλων πράξεων ἰδίων τε καὶ κοινῶν.* Pol. VI. 497. A: *μετὰ τῶν ἰδίων τὰ κοινὰ σώσει.* VII. 521. A: *εἰ ... πτωχοὶ καὶ πεινῶντες ἀγαθῶν ἰδίων ἐπὶ τὰ δημόσια ἴασιν.* Legg. VIII. 831. C: *πλὴν τῶν ἰδίων χρημάτων.* Menex. 247. B: *ἀπορίᾳ ἰδίων ἑαυτοῦ κτημάτων τε καὶ εὐδοξιῶν.* Phaedr. 261. A: *ἐν ἰδίοις (συλλόγοις).* Soph. 225. B: *ἐν ἰδίοις* (*inter privatos*). Pol. II. 366. E: *οὔτ' ἐν ποιήσει οὔτ' ἐν ἰδίοις λόγοις.* Legg. X. 890. B: *πόλεσί τε καὶ ἰδίοις οἴκοις.* Euthyd. 289. D: *οἳ τοῖς ἰδίοις λόγοις οἷς αὐτοὶ ποιοῦσιν οὐκ ἐπίστανται χρῆσθαι.* Soph. 232. C: *ἔν γε ταῖς ἰδίαις συνουσίαις.* Id. Pol. VI. 499. A. Legg. X. 909. D: *ἐν ἰδίαις οἰκίαις.* Tim. 65. B: *τὰ δ' ἐν ἰδίοις μέρεσιν ἡμῶν γιγνόμενα.* Legg. I. 636. D: *ἔν τε πόλεσι καὶ ἐν ἰδίοις ἤθεσι.* VI. 758. B: *ἐπὶ τοῖς αὑτῶν ἰδίοισι μένοντας.* VII. 796. D: *εἴς τε πολιτείαν καὶ ἰδίους οἴκους.* Polit. 310. B: *περὶ τὰς ἰδίας ἐκδόσεις καὶ γάμους.* Pol. IV. 419: *θυσίας θεοῖς ἰδίας θύοντες.* V. 464. D: *ἀλγηδόνας ... ἰδίων ὄντων ἰδίας.* VIII. 548. B: *ἀτεχνῶς νεοττιὰς ἰδίας.* Gorg. 469. E: *τὰ δημόσια καὶ τὰ ἴδια.* Pol. I. 353. D: *καὶ φαῖμεν ἴδια ἐκείνου εἶναι.* IV. 443. E: *περὶ τὰ ἴδια ξυμβόλαια.* VIII. 548. A: *αὐτὴ ἑαυτῆς αὖ τὰ πολλὰ τῶν τοιούτων ἴδια ἕξει.* Tim. 65. C: *ἴδι' ὄντα παθήματα περὶ τὴν γλῶτταν.* Legg. III. 681. A: *ἔχουσαν ... αὑτῆς ἔθη ἄττα ἴδια.* Hipp. mai. 281. D: *τά τε κοινὰ καὶ τὰ ἴδια.* Lach. 180. B.

ἰδιότης, ἡ, *proprietas.* Polit. 305. D: *κατὰ τὴν ἰδιότητα τῶν πράξεων τοὔνομα δικαίως εἴληφεν ἴδιον.*

ἰδιοτρόφος, ὁ ἡ, *singulos pascens.* Polit. 261. D: *ἀλλ' οὐ μὴν τόν γε πολιτικὸν εὑρήσομεν ἰδιοτρόφον* (v. *ἰδιότροπον*).

ἰδιοῦμαι, *ad me vindico.* Legg. V. 742. B: *ἰδιούμενος δ' ἄν τις φαίνηται.* Pol. VIII. 547. B: *γῆν ... καὶ οἰκίας κατανειμαμένους ἰδιώσασθαι.*

ἰδίως, *peculiariter.* Legg. VII. 807. B: (*μέχριπερ ἂν*) *ἰδίως ἅπαντ' ᾖ τὰ τοιαῦτα ἑκάστοις ἡμῶν κατεσκευασμένα.*

ἰδίωσις, ἡ, *separatio* vel *disiunctio in aliqua re.* Pol. V. 462. B: *ἡ ... τῶν τοιούτων ἰδίωσις διαλύει* (antec. *ἡ ... ἡδονῆς τε καὶ λύπης κοινωνία*).

ἰδιωτεία, *ἡ*, *vita privata*. Legg. III. 696. A: *ἰδιωτείᾳ καὶ βασιλείᾳ*. Pol. X. 618. D: *ἰδιωτεῖαι καὶ ἀρχαί*.

ἰδιωτεύω, *vitam privatam dego*. Pol. IX. 579. C: *ὃς ἂν … μὴ ὡς ἰδιώτης καταβιῷ*. Apol. 32. A: *ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν*. * *privatim artem aliquam factito* al. Polit. 259. A: *εἴ τῳ τις τῶν δημοσιευόντων ἰατρῶν ἱκανὸς ξυμβουλεύειν ἰδιωτεύων αὐτός*. Gorg. 515. B: *εἴπερ ἔστι τοιόνδε τι ἔργον σὸν ἔτι ἰδιωτεύοντος*. 514. E: *πρὶν ἰδιωτεύοντας πολλὰ … ποιῆσαι*. * *imperitus s. ignarus sum alicuius rei* (ita ut publice eam exercere nequeam). Prot. 326. E: *ὅτι τούτου τοῦ πράγματος, τῆς ἀρετῆς, εἰ μέλλει πόλις εἶναι, οὐδένα δεῖ ἰδιωτεύειν*.

ἰδιώτης, *ὁ*, *privatus*. Gorg. 525. E: *εἴ τις ἄλλος πονηρὸς ἦν ἰδιώτης*. Polit. 259. B: *ἄν τε ἄρχων ἄν τ' ἰδιώτης ὢν τυγχάνῃ*. Crat. 385. A: *καὶ ἐὰν ἰδιώτης καλῇ καὶ ἐὰν πόλις*. Pol. VII. 536. A. Legg. I. 636. E. al. Gorg. 526. C: *ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινός*. Theaet. 172. A: *ἐν τούτοις … οὐδὲν σοφώτερον οὔτε ἰδιώτην ἰδιώτου οὔτε πόλιν πόλεως εἶναι*. Pol. X. 620. C: *βίον ἀνδρὸς ἰδιώτου ἀπράγμονος*. Legg. I. 628. D. Theaet. 168. B: *ἰδιώτῃ τε καὶ πόλει*. Pol. III. 380. C. Legg. V. 742. A. al. Conv. 178. D: *οὔτε πόλιν οὔτε ἰδιώτην*. Pol. IX. 578. C: *ὃς ἂν … μὴ ἰδιώτην βίον καταβιῷ*. Apol. 40. D: *μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα* cet. Pol. X. 615. D: *ἦσαν … καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων*. Legg. IX. 864. A: *πόλις εἴτε ἰδιῶταί τινες*. Alc. I. 121. A. Pol. III. 390. A: *ὅσα ἄλλα τις … εἴρηκε νεανιεύματα ἰδιωτῶν εἰς ἄρχοντας*. IV. 435. E. VIII. 544. E. Critia 116. E: *ἰδιωτῶν ἀναθήματα*. Legg. VIII. 848. E: *χρείᾳ τινὶ πόλεως ἤ τινος ἰδιωτῶν*. Crit. 50. B. al. Conv. 185. B: *πολλοῦ ἄξιος καὶ πόλει καὶ ἰδιώταις*. Pol. VIII. 545. B: *ἐν ταῖς πολιτείαις πρότερον σκοπεῖν τὰ ἤθη ἢ ἐν τοῖς ἰδιώταις*. Legg. I. 641. B. Pol. II. 364. E: *πείθοντες οὐ μόνον ἰδιώτας, ἀλλὰ καὶ πόλεις*. VI. 495. B. Legg. X. 909. B. — Poesi oppos., quippe arti quodammodo communi vel publicae, designat prosae orationis scriptorem. Phaedr. 258. D: *ἐν μέτρῳ ὡς ποιητής, ἢ ἄνευ μέτρου ὡς ἰδιώτης*. Conv. 178. B: *οὔτε λέγονται ὑπ' οὐδενὸς οὔτε ἰδιώτου οὔτε ποιητοῦ*. Legg. X. 890. A: *ἀνδρῶν σοφῶν … ἰδιωτῶν τε καὶ ποιητῶν*. — Voci *δημιουργός* oppos. est *qui artis alicuius imperitus est*, et in univ. *imperitus*, *rudis*. Phaedr. 236. D: *παρ' ἀγαθὸν ποιητὴν ἰδιώτης αὐτοσχεδιάζων περὶ τῶν αὐτῶν*. Theaet. 178. C. Legg. XI. 933. D: *ἐὰν μὲν ἰατρὸς ὢν τυγχάνῃ … ἐὰν δὲ ἰδιώτης* cet. 916. B: *ἐὰν δέ τις ἰδιώτῃ τι τῶν τοιούτων ἀποδῶται δημιουργός* cet. Soph. 221. C: *πότερον ἰδιώτην, ἤ τινα τέχνην ἔχοντα θετέον εἶναι τὸν ἀσπαλιευτήν*. Tim. 20. A: *Κριτίαν … ἴσμεν οὐδενὸς ἰδιώτην ὄντα ὧν λέγομεν*. Prot. 345. A: *ἡμεῖς … οἱ ἰατρικῆς ἰδιῶται*. Polit. 298. D: *εἴτε τινῶν ἰατρῶν καὶ κυ-*

βερνητῶν εἴτ' ἄλλων ἰδιωτῶν ξυμβουλευόντων. Legg. XI. 921. B. Theag. 124. C: *τῶν τε δημιουργῶν καὶ ἰδιωτῶν* cet. Prot. 322. C: *εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις.* Pol. III. 389. B: *δῆλον ὅτι τό γε τοιοῦτον ἰατροῖς δοτέον, ἰδιώταις δὲ οὐχ ἁπτέον.* Prot. 327. C: *ὡς πρὸς τοὺς ἰδιώτας καὶ μηδὲν αὐλήσεως ἐπαΐοντας.*

ἰδιωτικός, ή, όν, privatus. Pol. I. 345. E: *ἔν τε πολιτικῇ καὶ ἰδιωτικῇ ἀρχῇ.* VI. 492. C: *ἢ ποίαν ἂν αὐτῷ παιδείαν ἰδιωτικὴν ἀνθέξειν ἣν οὐ* cet. Phaedr. 258. D: *εἴτε πολιτικὸν σύγγραμμα εἴτε ἰδιωτικόν.* Soph. 225. E: *ἀπὸ τῶν ἰδιωτικῶν ἐρίδων χρηματιζόμενον.* Legg. XII. 948. E: *ἐν ἄλλαις συνουσίαις τε καὶ ἰδιωτικαῖς συγγενήσεσιν ἑκάστων.* Pol. VI. 492. A: *διαφθείροντας δέ τινας σοφιστὰς ἰδιωτικοὺς (εἶναι).* D: *ἰδιωτικοὺς λόγους.* Critia 117. B: *χωρὶς μὲν βασιλικάς, χωρὶς δὲ ἰδιωτικάς.* * *ab arte alienus*, in univ. *imperitus, rudis.* Hipp. mai. 287. A: *φαῦλον γὰρ ἂν εἴη τὸ ἐμὸν πρᾶγμα καὶ ἰδιωτικόν.* Ion. 532. B. Euthyd. 282. D: *ἰδιωτικὸν ἴσως καὶ μόλις διὰ μακρῶν λεγόμενον (τὸ ἐμὸν παράδειγμα).*

ἰδιωτικῶς, imperite (cum v. *ἔχειν, imperitum esse*); *vulgari modo, leviter.* Crat. 394. A: *ὥστε δόξαι ἂν τῷ ἰδιωτικῶς ἔχοντι ἕτερα εἶναι ἀλλήλων τὰ αὐτὰ ὄντα.* Alc. I. 119. B. Pol. VII. 525. C: *ἀνθάπτεσθαι αὐτῆς (τῆς λογιστικῆς) μὴ ἰδιωτικῶς* cet. Legg. VIII. 839. E: *εὖ τὸ σῶμα ἔχων καὶ μὴ ἰδιωτικῶς ἢ φαύλως.* XII. 966. E. Euthyd. 278. D: *ἐὰν … δόξω ὑμῖν ἰδιωτικῶς τε καὶ γελοίως αὐτὸ ποιεῖν, μή μου καταγελᾶτε.*

ἰδνωθείς, incurvatus. Ion. 539. C. (Hom.).

ἰδού, ecce. Pol. IV. 440. A: *ἰδοὺ ὑμῖν … ἐμπλήσθητε τοῦ καλοῦ θεάματος.*

ἵδρυμα, τό, templum, sacellum; etiam *statua* vel *imago diis posita.* Legg. XI. 931. A: *τοιοῦτον ἐφέστιον ἵδρυμα ἐν οἰκίᾳ ἔχων.* IV. 717. B: *ἐπακολουθεῖ δ' αὐτοῖς ἱδρύματα ἴδια πατρῴων θεῶν.* VI. 778. D. VIII. 848. D.

ἵδρυσις, ἡ, exstructio (praec. *templorum*). Pol. IV. 427. B: *ἱερῶν … ἱδρύσεις.* Legg. X. 909. E: *ἱδρύσεις ὑπισχνεῖσθαι θεοῖς καὶ δαίμοσι* cet.

ἱδρύω, colloco, statuo, constituo. Tim. 66. C: *(ὁπόταν) πάνθ' ὅτι μάλιστα ἱδρύῃ κατὰ φύσιν.* Pass. *collocor*, perf. *collocatus* vel *situs sum, sedem habeo, sedeo.* Locr. 102. D: *ἱδρύεται.* Pol. IV. 429. A: *ὅπου τῆς πόλεως ἵδρυται.* Ep. III. 315. C: *πόῤῥω γὰρ ἡδονῆς ἵδρυται καὶ λύπης τὸ θεῖον.* Locr. 99. E: *ἑκάτερον … περὶ τὰν κεφαλὰν ἵδρυται.* Theaet. 176. A: *οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρύσθαι.* Tim. 77. B: *ὃ μεταξὺ φρενῶν ὀμφαλοῦ τε ἱδρύσθαι λόγος.* Legg. V. 738. B: *ἅττα … ἐν τῇ πόλει ἑκάστοις ἱδρύσθαι δεῖ.* 745. B: *τὴν πόλιν ἱδρύσθαι δεῖ τῆς χώρας … ἐν μέσῳ.* Euth. 11. D. Legg. VI. 775. E: *ἀρχὴ … καὶ θεὸς ἐν ἀνθρώποις ἱδρυμένη σώζει*

πάντα. VII. 801. B: *ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦτον οὔτε χρυσοῦν ἐν πόλει ἱδρυμένον ἐνοικεῖν.* Epin. 984. A: *οὐδ' ἐν διαφέρουσι τόποις ἱδρυμένα.* Pol. II. 371. D: *ἱδρυμένους ἐν ἀγορᾷ.* Ax. 365. E: *τῆς ψυχῆς εἰς τὸν ἐκεῖνον ἱδρυθείσης τόπον.* — Med. *colloco, statuo; exstruo, aedifico.* Prot. 322. A: *ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν.* Legg. X. 909. E: *ἱερὰ καὶ θεοὺς οὐ ῥάδιον ἱδρύεσθαι.* 910: *ἱερά τε καὶ βωμοὺς ἐν ἰδίαις οἰκίαις ἱδρυόμενοι.* Ib. *πάσας ... κώμας ἐν ... καθαροῖς ἱδρυομένους ἐμπιπλάναι.* Conv. 195. E: *ἐν ... ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴκησιν ἵδρυται.* Tim. 38. D: *τὰ δ' ἄλλα οἷ δὴ καὶ δι' ἃς αἰτίας ἱδρύσατο.* Euth. 11. B: *ὅπου ἂν ἱδρυσώμεθα αὐτό.* Legg. VIII. 848. D: *ἱερὰ πανταχοῦ ἱδρύσασθαι.* X. 910: *εἴτε ἐν ἰδίοις ἱδρυσάμενος εἴτ' ἐν δημοσίοις.* XI. 919. A: *εἰς ἐρήμους ... τόπους ... ἱδρυσάμενος οἰκήσεις.* 931. A: *ἀγάλματα ἱδρυσάμενοι.*

ἱδρως, ὁ, sudor. Phaedr. 248. B: *ἱδρὼς ἔσχατος γίγνεται.* 251. A: *ἱδρὼς καὶ θερμότης ἀήθης λαμβάνει.* Tim. 83. D: *ἱδρὼς καὶ δάκρυον.* Pol. I. 350. D: *μετὰ ἱδρῶτος θαυμαστοῦ ὅσου.* Tim. 84. E. Phaedr. 254. B: *ἱδρῶτι πᾶσαν ἔβρεξε τὴν ψυχήν.* Prot. 340. D: *ἱδρῶτα.* Id. Pol. II. 364. D. et Legg. IV. 718. E. (Hes.). Phaedr. 239. C: *ἱδρώτων ξηρῶν ἄπειρον.*

ἱέραξ, ὁ, accipiter. Phaed. 82. A: *εἰς τὰ τῶν ... ἱεράκων καὶ ἰκτίνων γένη.*

ἱερατικός, ή, όν, sacerdotalis; fem. *sacerdotium.* Polit. 290. D: *ὥστε περὶ ... Αἴγυπτον οὐδ' ἔξεστι βασιλέα χωρὶς ἱερατικῆς ἄρχειν.*

ἱέρεια, v. *ἱερεύς.*

ἱερεῖον, τό, victima. Polit. 287. C: *κατὰ μέλη ... αὐτὰς οἷον ἱερεῖον διαιρώμεθα.* Pol. VIII. 565. D: *ἐν ἄλλοις ἄλλων ἱερείων (σπλάγχνοις) ἑνὸς ἐγκατατετμημένου.* Lys. 206. E: *τὰ περὶ τὰ ἱερεῖα ... ἤδη πεποιημένα.* De lege 315. C: *ἱερεῖα ... προσφάττοντες.*

ἱερεύς, ὁ, fem. *ἱέρεια, ἡ, sacerdos.* Phaed. 58. C: *ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος.* Pol. III. 393. D. Tim. 26. D. Ax. 367. C: *οἱ ... τῆς Ἀργείας ἱερείας υἱεῖς.* Pol. III. 393. B: *τὸν ἱερέα.* Tim. 23. D. Pol. II. 381. D: *Ἥραν ... ὡς ἱέρειαν.* V. 461. A: *καὶ ἱέρειαι καὶ ἱερεῖς.* Legg. VII. 800. B. VIII. 828. B. Phaedr. 244. B: *αἵ τ' ἐν Δωδώνῃ ἱέρειαι.* Polit. 290. D: *τὸ ... τῶν ἱερέων σχῆμα.* Crat. 396. E. Conv. 202. E: *ἡ τῶν ἱερέων τέχνη τῶν τε περὶ τὰς θυσίας καὶ τὰς τελετὰς* cet. Tim. 22. A. Critia 108. D. Legg. V. 741. C: *ἱερέων τε καὶ ἱερειῶν εὐχὰς ποιησομένων ἐπὶ τοῖς πρώτοις θύμασι* cet. VI. 759. D. al. X. 909. D: *τοῖς ἱερεῦσί τε καὶ ἱερείαις ἐγχειριζέτω τὰ θύματα.* Polit. 291. D: *ἱερέας καὶ ὑπηρέτας αὐτῶν.* Critia 110. B. Legg. VI. 759. A: *ἱερέας καὶ ἱερείας.* B. VII. 799. B. XII. 947. D.

ἱερόν, v. *ἱερός*.

ἱεροποιός, ὁ, *sacrificulus*, praec. *qui hostias inspicit*. Lys. 207. D: *ἐδόκει γάρ μοι ἱεροποιῶν τυγχάνειν*.

ἱεροπρεπής, ὁ, ἡ, *augustus*. Theag. 122. D: *καλόν γε ... τῷ υἱεῖ τὸ ὄνομα ἔθου καὶ ἱεροπρεπές*.

ἱερός, ά, όν, *sacer*, *sanctus*, *consecratus*; *ἱερόν*, *templum* vel *sacellum*; plur. *res sacrae*, *mysteria*; *templa*; *sacrificia*; etiam *hostiae*. Phaed. 85. B: *ἱερὸς τοῦ αὐτοῦ θεοῦ*. Critia 115. B: *ἡ τότε ποτὲ οὖσα ὑφ' ἡλίῳ νῆσος ἱερά*. Legg. XII. 955. E: *γῆ ... ἑστία τε οἰκήσεως ἱερὰ πᾶσι πάντων θεῶν*. Phaedr. 230. B: *Νυμφῶν τέ τινων καὶ Ἀχελώου ἱερὸν ... ἔοικεν εἶναι*. 274. C: *οἱ καὶ τὸ ὄρνεον τὸ ἱερὸν* (*ἱερὸν?*) *ὃ* cet. Critia 116. C. Legg. VI. 774. A: *τοῦτο δ' ἔστω τῆς Ἥρας ἱερόν*. XI. 920. D: *Ἡφαίστου καὶ Ἀθηνᾶς ἱερὸν τὸ τῶν δημιουργῶν γένος*. Theag. 122. B: *ἱερὸν χρῆμα*. Tim. 85. B: *νόσημα ... ἱερᾶς ὂν φύσεως ἐνδικώτατα ἱερὸν λέγεται*. Legg. V. 741. C: *ὡς ... τῆς γῆς ἱερᾶς οὔσης τῶν πάντων θεῶν*. 739. A: *καθάπερ πεττῶν* (*φορὰ*) *ἀφ' ἱεροῦ* (v. Animadvv. p. 259 sq.). XI. 916. A: *τῇ καλουμένῃ ἱερᾷ νόσῳ*. Phaedr. 275. B: *ἐν τῷ τοῦ Διὸς ... ἱερῷ*. Critia 119. C. Pol. III. 398. A: *προσκυνοῖμεν ἂν αὐτὸν ὡς ἱερὸν καὶ θαυμαστὸν* cet. Tim. 38. D: *τὸν ἱερὸν Ἑρμοῦ λεγόμενον*. Legg. I. 645. A: *ἀγωγὴν χρυσῆν καὶ ἱεράν*. Prot. 328. B: *ἐλθὼν εἰς ἱερόν* cet. Pol. V. 470. A: *πρὸς ἱερὸν ... ἀπὸ τῶν οἰκείων* (*a cognatis*) *φέρειν*. VIII. 565. C: *περὶ τὸ ... τοῦ Διὸς ... ἱερόν*. Critia 120. B. Legg. I. 625. B. VI. 771. B: *ὡς οὖσαν ἱερὸν θεοῦ δῶρον*. IX. 881. E. Lach. 183. B: *τὴν ... Λακεδαίμονα ... εἶναι ἄβατον ἱερόν*. Pol. V. 458. E: *εἶεν δ' ἂν ἱεροὶ* (*γάμοι*) *οἱ ὠφελιμώτατοι*. Conv. 190. C: *αἱ τιμαὶ γὰρ αὐτοῖς καὶ τὰ ἱερὰ τὰ παρὰ τῶν ἀνθρώπων ἠφανίζετο*. 209. E: *ὧν καὶ ἱερὰ πολλὰ ἤδη γέγονε διὰ τοὺς τοιούτους παῖδας*. Pol. VIII. 568. D: *ὅταν ... ἱερὰ χρήματα ᾖ ἐν τῇ πόλει*. Legg. VIII. 829. E: *ὅσα ... ἱερὰ κριθέντα ποιήματα ἐδόθη τοῖς θεοῖς*. 841. D: *πλὴν ταῖς μετὰ θεῶν καὶ ἱερῶν γάμων ἐλθούσαις εἰς τὴν οἰκίαν*. Phaedr. 250. A: *ὥστε ... λήθην ὧν τότε εἶδον ἱερῶν ἔχειν*. Gorg. 514. A: *ἢ νεωρίων ἢ ἱερῶν ἐπὶ τὰ μέγιστα οἰκοδομήματα*. Pol. I. 331. D: *δεῖ γάρ με ἤδη τῶν ἱερῶν ἐπιμεληθῆναι*. III. 394. A: *ἐν ἱερῶν θυσίαις*. IV. 427. B: *ἱερῶν ... ἱδρύσεις*. V. 470. E: *οὐδὲ κοινωνήσουσιν ὧνπερ οἱ ἄλλοι ἱερῶν*. Tim. 27. B: *ἡ τῶν ἱερῶν γραμμάτων φήμη*. Legg. VI. 769. E: *ταμίας ... τῶν τε ἱερῶν χρημάτων* cet. VII. 800. B: *ἱερῶν καυθέντων κατὰ νόμον*. IX. 878. A: *θεραπευτὴν ὁσίων τε καὶ ἱερῶν ... γίγνεσθαι*. 881. D: *πάντων ἱερῶν εἰργέσθω*. Euth. 5. D: *περὶ ἱερῶν κλοπάς*. Euthyd. 277. E: *νῦν οὖν νόμισον τὰ πρῶτα τῶν ἱερῶν ἀκούειν τῶν σοφιστικῶν*. Legg. VII. 824: *ἐν λιμέσι καὶ ἱεροῖς ποταμοῖς* cet. Ep. VII. 335. A: *τοῖς παλαιοῖς τε καὶ ἱεροῖς λόγοις*. Legg. XI. 936. A:

ζημιοῦσθαι μναῖς τρισὶν ἱεραῖς τοῦ θεοῦ οὗ ἂν ὁ ἀγὼν ᾖ. XII. 950. E: ἐν ἱεραῖς τε καὶ εἰρηνικαῖς συνουσίαις. Tim. 23. A: πάντα γεγραμμένα ἐκ παλαιοῦ τῇδ' ἐστὶν ἐν τοῖς ἱεροῖς καὶ σεσωσμένα. E. Legg. VII. 824: ἐν ἱεροῖς ἁγίοις. XII. 955. A: νικήσαντα γράφειν ἐν ἱεροῖς οἷς ἂν ἐθέλῃ. Pol. V. 458. E: δῆλον ... ὅτι γάμους ... ποιήσομεν ἱεροὺς εἰς δύναμιν ὅτι μάλιστα. Legg. VI. 759. D: καθ' ἱεροὺς νόμους ... ἁγιστεύσειν. VII. 824: τούτους ... τοὺς ἱεροὺς ὄντως θηρευτάς. Pol. III. 391. B: τὰς τοῦ ἑτέρου ποταμοῦ Σπερχειοῦ ἱερὰς τρίχας. Legg. III. 844. E: ἱερὰς ... ὀφειλέτω τῷ Διονύσῳ δραχμάς. Phaed. 111. B: καὶ θεῶν ἕδη τε καὶ ἱερὰ αὐτοῖς εἶναι. Conv. 189. C: μέγιστ' ἂν αὐτοῦ (τοῦ Ἔρωτος) ἱερὰ κατασκευάσαι καὶ βωμούς. Pol. I. 344. E: καὶ ἱερὰ καὶ ὅσια. V. 469. E: οὐδὲ ... πρὸς τὰ ἱερὰ τὰ ὅπλα οἴσομεν ὡς ἀναθήσοντες. VI. 495. D. Critia 116. C: ὡραῖα ... ἀπετέλουν ἱερὰ ἐκείνων ἑκάστῳ. 117. A: πρέποντα ... τῷ περὶ τὰ ἱερὰ κόσμῳ. Legg. VII. 800. A: παρὰ τὰ δημόσια μέλη τε καὶ ἱερά. VIII. 828. C: θύοντας τούτων ἑκάστοις ἔμμηνα ἱερά. IX. 871. D: τοῖς τὰ ἱερὰ συλῶσι. X. 909. D: ἱερὰ μηδὲ εἷς ἐν ἰδίαις οἰκίαις ἐκτήσθω. XII. 956. A: πρὸς τὰ κοινὰ ἱερά. — De lege 319. A: πάντων τούτων ἱερώτατόν ἐστιν ἄνθρωπος ὁ ἀγαθός. Tim. 45. A: τὴν τοῦ θειοτάτου καὶ ἱερωτάτου φέρον οἴκησιν ἐπάνωθεν ἡμῶν. Legg. VI. 755. E: εἰς χωρίον ὡς ἱερώτατον. XI. 927. C: παρακαταθήκην εἶναι μεγίστην ἡγούμενοι καὶ ἱερωτάτην.

ἱεροσυλία, ἡ, *sacrilegium.* Legg. X. 885. A: ἱεροσυλία ... εἴρηται ξυλλήβδην ... τί χρὴ πάσχειν. IX. 869. B: ἀσεβείας ... καὶ ἱεροσυλίας. 854. B: τὸ νῦν ἐπὶ τὴν ἱεροσυλίαν προτρέπον ἰέναι. Pol. IV. 443. A: ἱεροσυλιῶν καὶ κλοπῶν. Phaed. 113. E: ἱεροσυλίας πολλὰς καὶ μεγάλας ... ἐξειργασμένοι.

ἱερόσυλος, ὁ ἡ, *sacrilegus.* Legg. IX. 857. A: προδότῃ καὶ ἱεροσύλῳ. 860. B: τὸν ἱερόσυλον. Pol. I. 344. B: ἱερόσυλοι καὶ ἀνδραποδισταὶ cet. VIII. 552. D. Legg. IX. 854. A: τὸν τῶν ἱεροσύλων πέρι νόμον. IX. 856. C: τοῖς ἱεροσύλοις. VIII. 831. E: τοὺς ... τοιχωρύχους καὶ ἱεροσύλους.

ἱεροσυλῶ, *sacra aufero, sacrilegium committo.* Pol. IX. 575. B: ἱεροσυλοῦσιν, ἀνδραποδίζονται. Legg. IX. 854. D: ὃς δ' ἂν ἱεροσυλῶν ληφθῇ. 859. B: περὶ τῶν ... ἱεροσυλούντων.

ἱερουργία, ἡ, *rerum sacrarum actio.* Legg. VI. 774. E: ἤ τις ἄλλη περὶ τὰ τοιαῦτα ἱερουργία.

ἱερῶ, *consecro.* Legg. VI. 771. B: διὸ καὶ πᾶσαν πόλιν ἄγει ... τὸ ξύμφυτον ἱεροῦν αὐτάς (τὰς διανομάς).

ἱερωσύνη, ἡ, *sacerdotium.* Legg. VI. 759. D: μὴ μακρότερον (εἶναι) τὴν ἱερωσύνην ἑκάστην. A: οἷς μέν εἰσι πάτριαι ἱερωσύναι καὶ αἷς, μὴ κινεῖν.

ἴεσις, ἡ, *itio*. Crat. 426. C: *ὅτι ἴεσις βούλεται εἶναι (κίνησις)*. Ib. *ἴεσις ἂν ὀρθῶς καλοῖτο*.

ἵζω et *ἵζομαι*, *consido; sedeo*. Tim. 53. A: *τὰ ... μανὰ καὶ κοῦφα εἰς ἑτέραν ἵζει φερόμενα ἕδραν*. Men. 95. D: *ἵζε* (Theogn.). Legg. IX. 855. D: *ὁ δικαστὴς ... ἐγγύτατα κατὰ πρέσβιν ἰζέσθω*. Tim. 25. D: *ὃν (πηλὸν) ἡ νῆσος ἱζομένη παρέσχετο*.

ἵημι, *iacio; mitto, fundo, edo*. Phaedr. 259. D: *αἳ ... ἱᾶσι καλλίστην φωνήν*. Theaet. 194. A: *οἷον τοξότην φαῦλον ἱέντα παραλλάξαι τοῦ σκοποῦ*. Legg. X. 890. D: *πᾶσαν ... φωνὴν ἱέντα*. Ax. 365. A: *στεναγμοὺς ἱέντα*. Pol. X. 617. B: *φωνὴν μίαν ἱεῖσαν (Σειρῆνα)*. Legg. XI. 934. D: *πολλὴν φωνὴν ἱέντες*. VII. 812. D: *ἄλλα ... μέλη τῶν χορδῶν ἱεισῶν*. Phil. 51. D: *τὰς ἕν τι καθαρὸν ἱείσας μέλος*. Pol. I. 336. B: *συστρέψας ἑαυτὸν ὥσπερ θηρίον ἧκεν ἐφ' ἡμᾶς ὡς διαρπασόμενος*. Ep. VII. 349. A: *παντοδαπὰ χρώματα ἧκεν*. Med. *me proripio, impetu feror*. Phaedr. 241. B: *ἵεται (v. ἵεται) φυγῇ μεταβαλών*. Crat. 427. A: *τὸ ἱέναι καὶ τὸ ἵεσθαι (v. ἵεσθαι)*. 419. E: *ὅτι ... ἱέμενος ῥεῖ καὶ ἐφιέμενος τῶν πραγμάτων*. Ion. 539. A: *ἱεμένων ἔρεβόσδε* (Hom.).

ἰητήρ, ὁ (i. q. *ἰατρός*). Pol. III. 389. D. (Hom.).

ἱκανός, ή, όν, *qui satis est* vel *satis facit*; *satis multus, magnus, validus* al.; hinc *idoneus, accommodatus, locuples, iustus*; in homine dicitur *qui satis valet ad aliquid faciendum*, qui *par, bonus* vel *peritus* est, et in univ. *qui potest*. Vern. est *hinlänglich* vel *genügend*, *fähig* et *tüchtig*. Prot. 322. C: *εἷς ... πολλοῖς ἱκανὸς ἰδιώταις*. 329. B: *ἱκανὸς ... μακροὺς λόγους καὶ καλοὺς εἰπεῖν*. Phaedr. 242. C: *ὅσον μὲν ἐμαυτῷ μόνον ἱκανός*. 258. B: *ὅταν ἱκανὸς γένηται ῥήτωρ ... ὥστε ... ἀθάνατος γενέσθαι λογογράφος ἐν πόλει*. Gorg. 512. C: *ἱκανὸς γὰρ αὐτῷ ὁ λόγος*. Phaed. 114. C: *οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι*. Conv. 176. E: *ἱκανὸς γὰρ καὶ ἀμφότερα*. Pol. II. 361. A: *ἱκανὸς καὶ ἐπανορθοῦσθαι*. VI. 496. D: *οὔτε ἱκανὸς ὢν εἷς πᾶσιν ἀγρίοις ἀντέχειν*. Tim. 68. D: *(ὅτι) ἀνθρώπων ... οὐδεὶς οὐδέτερα τούτων ἱκανὸς* cet. Legg. VI. 764. E: *ἱκανὸς ... εἷς ἄρχων αὐτοῖς*. IX. 879. B: *τύχης γὰρ νομοθέτης οὐδεὶς ἱκανὸς ἄρχειν*. Lys. 204. A: *ἱκανὸς σοφιστής*. Prot. 322. B: *ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν*. Phaedr. 230. C: *ὅτι ... ἱκανὴ πέφυκε κατακλινέντι τὴν κεφαλὴν παγκάλως ἔχειν*. Conv. 177. D: *γένοιτ' ἂν ἡμῖν ἐν λόγοις ἱκανὴ διατριβή*. Pol. II. 373. D: *ἡ χώρα ... ἡ τότε ἱκανὴ τρέφειν τοὺς τότε σμικρὰ ... ἐξ ἱκανῆς ἔσται*. Legg. I. 625. B: *ἡ ... ὁδὸς ... ἱκανή*. IX. 875. A: *ὅτι φύσις ἀνθρώπων οὐδενὸς ἱκανὴ φύεται ὥστε γνῶναι* cet. Gorg. 487. D: *ἱκανόν μοι τεκμήριόν ἐστιν ὅτι* cet. Phaed. 70. D. Phil. 19. E: *πρὶν ἂν τούτων τῶν λόγων πέρας ἱκανὸν γένηταί τι διορισθέντων*. Pol. III. 406. E:

ἐὰν ... μὴ ἱκανὸν ᾖ τὸ σῶμα ὑπενεγκεῖν. Tim. 89. D. Critia 113. C. Gorg. 489. A: *ἅτε ἱκανοῦ ἀνδρὸς διαγνῶναι ὡμολογηκότος.* Soph. 234. D: *χρόνου ... ἐπελθόντος αὐτοῖς ἱκανοῦ.* Polit. 273. A. Legg. X. 887. E: *οὐδὲ ἐξ ἑνὸς ἱκανοῦ λόγου.* Phil. 67. A: *τῆς τοῦ ἱκανοῦ καὶ τελέου δυνάμεως.* Pol. II. 361. B: *λέγειν ... ἱκανῷ ὄντι πρὸς τὸ πείθειν.* Legg. V. 736. C: *ἱκανῷ χρόνῳ διαβασανίσαντες.* Hipp. min. 369. C: *ἀποδείξω σοι ἱκανῷ λόγῳ* cet. Phaedr. 264. B: *ὅτι με ἡγεῖ ἱκανὸν εἶναι τὰ ἐκείνου οὕτως ἀκριβῶς διιδεῖν.* Soph. 248. C: *ἱκανὸν ἔθεμεν ὅρον ... τῶν ὄντων.* Polit. 295. A: *μή ποθ' ἱκανὸν γενήσεσθαι ... ἑνὶ ἑκάστῳ τὸ προσῆκον ἀποδιδόναι.* Pol. II. 376. D. Gorg. 484. A: *ἐὰν ... φύσιν ἱκανὴν γένηται ἔχων ἀνήρ.* Phil. 20. A: *ὧν μὴ δυναίμεθ' ἂν ἱκανὴν ἀπόκρισιν ἐν τῷ παρόντι διδόναι σοι.* Conv. 179. B: *τούτου ... ἱκανὴν μαρτυρίαν παρέχεται.* Critia 113. E. Legg. III. 686. C: *εἴς τινα σκέψιν ἱκανήν.* Gorg. 480. A: *ὡς ἱκανὸν κακὸν ἕξοντα.* 485. E: *ἐλεύθερον δὲ καὶ μέγα καὶ ἱκανὸν μηδέποτε φθέγξασθαι.* Phaed. 96. C: *τεκμήριον δέ σοι ἐρῶ ἱκανόν.* 101. D: *ἕως ἐπί τι ἱκανὸν ἔλθοις.* Phil. 52. D: *τὸ μέγα καὶ τὸ ἱκανόν.* 60. C: *τὸ ... ἱκανὸν τελεώτατον ἔχειν.* Pol. IV. 427. D. 465. A: *ἱκανὼ γὰρ τὼ φύλακε κωλύοντε.* Prot. 327. C: *αὐληταὶ γοῦν πάντες ἦσαν ἱκανοὶ ὡς πρὸς τοὺς ἰδιώτας* cet. Phaedr. 276. E: *οἳ (λόγοι) ἑαυτοῖς τῷ τε φυτεύσαντι βοηθεῖν ἱκανοί.* Phaed. 101. E: *ἱκανοὶ ... ὁμοῦ πάντα κυκῶντες ὅμως δύνασθαι αὐτοὶ αὑτοῖς ἀρέσκειν.* Crat. 398. D: *ἐρωτᾶν ἱκανοὶ ὄντες.* Pol. II. 365. A: *ὅσοι εὐφυεῖς καὶ ἱκανοί.* III. 415. A: *ὅσοι ... ὑμῶν ἱκανοὶ ἄρχειν.* Crit. 52. B: *ἀλλ' ἡμεῖς σοι ἱκανοὶ ἦμεν.* Pol. V. 456. B: *ἐπείπερ εἰσὶν ἱκαναί (αἱ γυναῖκες).* VII. 540. C: *ἱκαναὶ τὰς φύσεις.* Phaedr. 228. B: *τῷ δὲ οὐδὲ ταῦτα ἦν ἱκανά.* Phil. 61. E. Pol. II. 362. D: *ἐμέ γε ἱκανὰ καὶ τὰ ὑπὸ τούτου ῥηθέντα καταπαλαῖσαι* cet. Legg. VI. 763. D: *ἱκανὰ καὶ καθαρά (ὕδατα).* Prot. 329. A: *ἢ ἄλλου τινὸς τῶν ἱκανῶν εἰπεῖν.* Theaet. 170. B: *οἰομένων ... ἱκανῶν μὲν διδάσκειν, ἱκανῶν δὲ ἄρχειν εἶναι.* Pol. III. 408. A: *ὡς ἱκανῶν ὄντων τῶν φαρμάκων ἰάσασθαι ἄνδρας ... ὑγιεινούς* cet. Prot. 321. A: *ἱκανοῖς (δέρμασιν) ... ἀμῦναι χειμῶνα.* Soph. 232. C: *ἆρ' ἱκανοὺς ποιοῦσι τοῦτο δρᾶν;* Pol. V. 467. D: *τοὺς ἐμπειρίᾳ τε καὶ ἡλικίᾳ ἱκανοὺς ἡγεμόνας τε καὶ παιδαγωγοὺς εἶναι.* Legg. X. 909. C: *παῖδας ... ἂν καταλίπῃ τῇ πόλει ἱκανούς.* Pol. III. 415. E: *οὐκοῦν τοιαύτας (εὐνάς), οἵας χειμῶνός τε στέγειν καὶ θέρους ἱκανὰς εἶναι;* Phaedr. 234. C: *ἐγὼ ... ἱκανά μοι νομίζω τὰ εἰρημένα.* Pol. II. 371. A: *δεῖ ... τὰ οἴκοι μὴ μόνον ἑαυτοῖς ποιεῖν ἱκανά* cet. Legg. X. 885. D: *τεκμήρια λέγοντες ἱκανά.* Soph. 234. C: *ὡς ... τοῦτο ἱκανώτατος ὢν ἀποτελεῖν ἔργῳ.* Hipp. mai. 282. B. 281. A: *ἄγγελον ἱκανώτατον ... τῶν λόγων.* Legg. VI. 755. E: *εἰς χωρίον ὡς ... ἱκανώτατον καθ-*

ίσαι. Ep. VII. 328. A: *ἱκανώτατοι ... Διονύσιον συμπαρακαλεῖν*.

ἱκανότης, ἡ, *ratio idonea, numerus iustus*. Legg. XI. 930. C: *παίδων ... ἱκανότης ἀκριβὴς ἄῤῥην καὶ θήλεια ἔστω τῷ νόμῳ*. Lys. 215. A: *ὁ ... ἱκανὸς οὐδενὸς δεόμενος κατὰ τὴν ἱκανότητα*.

ἱκανῶς, *satis; ita ut par est; plane, recte, perfecte*. Prot. 312. D: *οὐ μέντοι ἱκανῶς γε (λέγοιμεν)*. 324. D: *ἀποδέδεικταί σοι ... ἱκανῶς*. Phaedr. 250. A: *διὰ τὸ μὴ ἱκανῶς διαισθάνεσθαι*. 261. A: *ἐὰν μὴ ἱκανῶς φιλοσοφήσῃ*. Gorg. 453. A: *ἀλλά μοι δοκεῖς ἱκανῶς ὁρίζεσθαι*. 488. A: *ἀλλ' ἱκανῶς μοι ἔνδειξαι τί ἐστι τοῦτο*. 501. B: *εἰ δοκεῖ σοι ἱκανῶς λέγεσθαι*. Phaed. 71. D: *ἱκανῶς σοι ... ἢ οὔ (λέγω)*; 96. D: *ᾤμην ... ἔγωγε ἱκανῶς μοι δοκεῖν* cet. Theaet. 184. A: *εἴτε τις ἐν παρέργῳ σκέψεται ... εἴτε ἱκανῶς*. Phil. 30. E: *ἔχω καὶ μάλ' ἱκανῶς*. Conv. 177. E: *ἐὰν οἱ πρόσθεν ἱκανῶς καὶ καλῶς εἴπωσιν*. Pol. I. 344. C: *ἱκανῶς γιγνομένη (ἀδικία)*. III. 403. D: *τὴν διάνοιαν ἱκανῶς θεραπεύσαντες*. VI. 486. D: *ἐπιλήσμονα ... ψυχὴν ἐν ταῖς ἱκανῶς φιλοσόφοις μή ποτε ἐγκρίνωμεν*. Legg. VI. 759. C. Charm. 158. B: *εἰ ... καὶ πρὸς σωφροσύνην ... ἱκανῶς πέφυκας* cet. Men. 75. B: *ἱκανῶς σοι, ἢ ἄλλως πως ζητεῖς*; Ep. XI. 358. E: *οὐδὲ τῷ σώματι ... ἱκανῶς ἔχω πλανᾶσθαι*. Phil. 67. A: *μετά ταῦτά γε πάντων ἱκανώτατα τούτοιν οὐδέτερον ἱκανὸν ἐφάνη*. Pol. V. 477. A. VI. 511. D. Legg. VIII. 838. B. Cum v. *ἔχειν* est *satis esse*. Soph. 245. E: *ὅμως δὲ ἱκανῶς ἐχέτω*. Pol. IV. 430. C: *πρὸς ... τὴν ἐκείνου ζήτησιν ... ἱκανῶς ἔχει*. VI. 504. C. Hipp. mai. 283. B. Etiam *satis bonum* vel *absolutum esse*. Gorg. 486. D: *ὅτι ἱκανῶς ἔχω*. Menex. 234. A: *ὡς ἱκανῶς ἤδη ἔχων*. Lys. 217. A: *ἱκανῶς γὰρ ἔχει (τὸ ὑγιαῖνον σῶμα)*. Ep. XII. 359. D: *τὰ ... παρ' ἐμοὶ ὑπομνήματα ... ἱκανῶς οὔπω ἔχει*. Porro *satis habere, contentum esse*. Gorg. 493. C: *τὸν ... τοῖς ἀεὶ παροῦσιν ἱκανῶς καὶ ἐξαρκούντως ἔχοντα βίον*. Denique *satis* vel *plane cognitum habere*. Pol. III. 402. A: *ὥσπερ ... γραμμάτων πέρι τότε ἱκανῶς εἴχομεν ὅτε* cet. V. 477. A: *ἱκανῶς ... τοῦτο ἔχομεν ... ὅτι* cet. — Cum genit. Theaet. 194. D: *ἱκανῶς τοῦ βάθους ἔχοντα*. Phil. 62. A: *ἆρ' οὖν οὗτος ἱκανῶς ἐπιστήμης ἕξει* cet.

ἴκελος, η, ον, *similis*. Ion. 538. C. (Hom.).

ἱκετεία, ἡ, *supplicatio*. Apol. 39. A: *ἐφ' ἱκετείαν τρεπόμενος τῶν διωκόντων*. Legg. X. 887. E: *εὐχαῖς ... καὶ ἱκετείαις*. XII. 949. B: *μήτε ἱκετείαις χρώμενον ἀσχήμοσι*. Conv. 183 A: *ἱκεταίας τε ταὶ ἀντιβολήσεις ἐν ταῖς δεήσεσι ποιούμενοι*. Legg. VII. 796. C.

ἱκετεύω, *supplico*. Phaed. 114. A: *ἱκετεύουσι καὶ δέονται ἐᾶσαι σφᾶς* cet. Euthyd. 282. B: *δεόμενον καὶ ἱκετεύοντα σοφίας μεταδιδόναι*. Ep. VII. 349. B: *ἱκέτευε μηδὲν τοιοῦ-*

τον ποιεῖν. Apol. 34. C: *ἐδεήθη τε καὶ ἱκέτευσε τοὺς δικαστάς.* Legg. V. 730. A: *ἱκετεύσας.*

ἱκέτης, ὁ, supplex. Pol. III. 393. D: *ἱκέτης τῶν Ἀχαιῶν.* Legg. V. 730. A. IX. 854. B. V. 730. A: *τὸ περὶ τοὺς ἱκέτας (ἁμάρτημα).*

ἰκμάς, ἡ, humor. Tim. 76. B: *τῆς ἰκμάδος ἔξω δι' αὐτοῦ (τοῦ δέρματος) φερομένης.*

ἱκνοῦμαι, venio; aor. 2. *ἱκόμην,* unde *ἵκετο* (Ax. 368. A. ex Hom.), *ἵκοιο* (Crit. 44. B. Ap. Hom. *ἱκοίμην*), *ἵκηαι* (Legg. IV. 719. A. ex Hes.) et *ἱκέσθαι* (Ion. 537. B. Hom.). Ab antiquo *ἵκω* manavit *ἱκάνω,* unde *ἵκανεν* (Ion. 538. D. Hom.).

ἴκταρ, prope. Pol. IX. 575. C: *ταῦτα ... πάντα πρὸς τύραννον ... οὐδ' ἴκταρ βάλλει (nihil est ad tyrannum).*

ἰκτίν vel *ἰκτῖνος, ὁ, milvus.* Phaed. 82. A: *εἰς τὰ τῶν ... ἱεράκων καὶ ἰκτίνων γένη.*

ἱλαδόν, abunde. Pol. II. 364. C. (Hes.).

ἱλάσκομαι, placo. Phaed. 95. A: *τί δὲ δὴ τὰ Κάδμου; ... πῶς ἱλασόμεθα καὶ τίνι λόγῳ;* (ubi urbane positum est pro: *quomodo convincemus?*).

ἱλεοῦμαι, placo. Legg. VII. 804. B: *προςπαίζοντές τε καὶ ἱλεούμενοι.*

ἵλεως, ὁ, ἡ, hilaris, comis. Phaed. 117. B: *μάλα ἵλεως.* Pol. VI. 496. E: *ἵλεώς τε καὶ εὐμενής.* Legg. VII. 792. A: *ὁ ... δύςκολος οὐδαμῶς τε ἵλεως.* Conv. 206. D: *διὰ ταῦτα ὅταν ... καλῷ προςπελάζῃ τὸ κυοῦν, ἵλεων ... γίγνεται.* Legg. I. 649. A: *πιόντα τὸν ἄνθρωπον ... ποιεῖ (ὁ οἶνος) ... ἵλεων εὐθὺς μᾶλλον ἢ πρότερον.* VII. 792. B: *εὔθυμον μᾶλλόν τε καὶ ἵλεων.* D: *ὃ νῦν δὴ προςεῖπον ὡς ἵλεων ὀνομάσας.* E: *τὸ ... ἵλεων καὶ εὐμενὲς πρᾷόν τε τιμῶσα.* **placatus, propitius.* Phaedr. 257. A: *εὐμενὴς καὶ ἵλεως τὴν ἐρωτικήν μοι τέχνην ... μήτε ἀφέλῃ* cet. Conv. 197. D: *ἵλεως ἀγαθοῖς.* Pol. VIII. 566. E: *πᾶσιν ἵλεώς τε καὶ πρᾷος εἶναι προςποιεῖται.* Legg. IV. 712. B: *ὁ δὲ (θεὸς) ... ἵλεως εὐμενής τε ἡμῖν ἔλθοι.* Theaet. 168. B: *ἵλεῳ τῇ διανοίᾳ ξυγκαθείς.* Legg. II. 664. C: *τοῖς νέοις ἵλεων μετὰ πειθοῦς γίγνεσθαι ἐπευχόμενος.* XI. 924. A: *ἵλεων υἱὸν αὐτὸν ποιείσθω ξὺν νόμῳ.* Euthyd. 273. E: *ἵλεω* (dual.) *εἴητον.* Legg. V. 747. E: *τοὺς ἀεὶ κατοικιζομένους ἵλεῳ δεχόμενοι.* XI. 923. B: *ὑμεῖς ... ἡμῖν ἵλεῳ τε καὶ εὐμενεῖς ὄντες πορεύοισθε* cet. Epin. 975. A. Phaed. 95. A: *τὰ ... Ἁρμονίας ἡμῖν ... ἵλεά πως ... μετρίως γέγονε.* Pol. IV. 427. B: *ὅσα τοῖς ἐκεῖ δεῖ ὑπηρετοῦντας ἵλεως αὐτοὺς ἔχειν.* Legg. V. 736. C: *τοὺς δ' ἀγαθοὺς εἰς δύναμιν εὐμενεῖς ἵλεώς τε προςαγώμεθα.* X. 910: *λάθρᾳ τοὺς θεοὺς ἵλεως οἰόμενοι ποιεῖν θυσίαις τε καὶ εὐχαῖς.*

ἰλιγγιῶ, vertigine corripior, titubo. Phaed. 79. C: *ἰλιγγιᾷ ὥσπερ μεθύουσα (ἡ ψυχή).* Crat. 411. B: *ὅτι οἱ πάνυ*

παλαιοὶ ἄνθρωποι ... ἀεὶ ἰλιγγιῶσι. Theaet. 175. D: ἰλιγγιῶν. *stupeo, obstupesco. Lys. 216. C: ἀλλὰ τῷ ὄντι αὐτὸς ἰλιγγιῶ ὑπὸ τῆς τοῦ λόγου ἀπορίας. Gorg. 486. B: ἀλλ' ἰλιγγιώης ἂν καὶ χασμῷο οὐκ ἔχων ὅ τι εἴποις. Ep. VII. 325. E: τελευτῶντα ἰλιγγιᾶν. Prot. 339. E: ἐσκοτώθην τε καὶ ἰλιγγίασα εἰπόντος αὐτοῦ ταῦτα. Gorg. 527. A: χασμήσει καὶ ἰλιγγιάσεις.

ἴλιγγος, ὁ, *vertigo.* Legg. X. 892. E: μὴ ... σκοτοδινίαν ἴλιγγόν τε ὑμῖν ἐμποιήσῃ. Pol. III. 407. C: κεφαλῆς τινὰς ἀεὶ διατάσεις καὶ ἰλίγγους ὑποπτεύουσα.

ἰλυσπῶμαι, *repo.* Tim. 92: ἄποδα αὐτὰ καὶ ἰλυσπώμενα ἐπὶ γῆς ἐγέννησαν.

ἱμαντώδης, ὁ ἡ, *lori similis.* Tim. 76. C: ξυγγενὲς ... ἱμαντῶδες ὂν αὐτοῦ.

ἱμάς, ὁ, *caestus* (pugilum). Legg. VIII. 830. B: ἀντὶ ἱμάντων σφαίρας ἂν περιεδούμεθα. Prot. 342. B: ἱμάντας περιειλίττονται.

ἱμάτιον, τό, *vestis, pallium.* Pol. VIII. 557. C: ὥσπερ ἱμάτιον ποικίλον πᾶσιν ἄνθεσι πεποικιλμένον. I. 327. B: καί μου ὄπισθεν ὁ παῖς λαβόμενος τοῦ ἱματίου. IX. 574. D. Charm. 155. D: εἶδον ... τὰ ἐντὸς τοῦ ἱματίου. Phaedr. 288. D: ὑπὸ τῷ ἱματίῳ. Crat. 389. B: λεπτῷ ἱματίῳ ἢ παχεῖ cet. Phaedr. 273. B: ἱμάτιον ἤ τι ἄλλο ἀφελόμενος. Gorg. 469. D: κἂν θοἰμάτιον διεσχίσθαι (δόξῃ μοι). Phaed. 87. B: τεκμήριον ... παρέχοιτο θοἰμάτιον. Theaet. 165. B: εἰ ὁρᾷς τὸ ἱμάτιον τῷ κατειλημμένῳ (ὀφθαλμῷ). Conv. 219. B: ἀμφιέσας τὸ ἱμάτιον τὸ ἐμαυτοῦ τοῦτον. Pol. VI. 495. E: νεουργὸν ἱμάτιον ἔχοντος. Hipp. min. 368. C: καὶ τὸ ἱμάτιον ὑφῆναι καὶ τὸν χιτωνίσκον. Eryx. 393. B: εἰ τυγχάνοι τῷ ἱμάτια ὄντα ... ἔτι πλέονος ἄξια cet. Gorg. 449. D: περὶ τὴν τῶν ἱματίων ἐργασίαν. Phaed. 64. D: οἷον ἱματίων διαφερόντων κτήσεις. Pol. V. 457. A: ἐπείπερ ἀρετὴν ἀντὶ ἱματίων ἀμφιέσονται. Legg. I. 637. E. Alc. I. 122. C: ἱματίων θ' ἕλξεις. Eryx. 402. B: ἱματίοις καὶ στρώμασι cet. Gorg. 517. D: ἱμάτια, στρώματα, ὑποδήματα. Pol. II. 372. A: καὶ ἱμάτια καὶ ὑποδήματα (ποιοῦντες). V. 473. E: οἷον ῥίψαντας τὰ ἱμάτια. Crit. 44. A: λευκὰ ἱμάτια ἔχουσα. Hipp. mai. 294. A: ἱμάτια ... ἢ ὑποδήματα ἁρμόττοντα. Men. 91. D: οἱ ... τὰ ἱμάτια ἐξακούμενοι. E.

ἱματιουργικός, ή, όν, *ad vestium confectionem pertinens;* fem. *vestium, confectio.* Polit. 280. A: τῆς ἱματιουργικῆς (v. ἱματουργ.). Ib. οὕτω καὶ νῦν ταύτην προςείπωμεν ἀπ' αὐτοῦ τοῦ πράγματος ἱματιουργικήν (v. ἱματουργ.).

ἱμείρω, *desidero.* Crat. 418. C: ὅτι ... ἀσμένοις τοῖς ἀνθρώποις καὶ ἱμείρουσιν ἐκ τοῦ σκότους τὸ φῶς ἐγίγνετο.

ἱμέρα, ἡ (i. q. ἡμέρα). Crat. 418. C: οἷον οἱ μὲν ἀρχαιότατοι ἱμέραν τὴν ἡμέραν ἐκάλουν. D.

ἵμερος, ὁ, *desiderium, cupiditas.* Phaedr. 251. C: ἐκεῖ-

θεν μέρη ἐπιόντα καὶ ῥέοντα, ἃ δὴ διὰ ταῦτα ἵμερος καλεῖται (nisi ex interpretatione haec fluxerunt.) Crat. 419. E: ἵμερος ... τῷ μάλιστα ἕλκοντι τὴν ψυχὴν ῥῷ ἐπωνομάσθη (Ib. ὅτι ἱέμενος ῥεῖ). 420. A. Legg. VII. 823. E: ἄγρας ... λῃστείας τε ἵμερος. IX. 870. A: οὗ πλεῖστός τε καὶ ἰσχυρότατος ἵμερος ὢν τυγχάνει τοῖς πολλοῖς, τῶν χρημάτων. Phaedr. 251. D: ἡ δ' ἐντὸς μετὰ τοῦ ἱμέρου ἀποκεκλῃμένη (ψυχή). Conv. 197. D: ἱμέρου, πόθου πατήρ. Phaedr. 251. C: ὅταν ... δεχομένη τὸν ἵμερον ἄρδηται cet. 255. C: ἡ τοῦ ῥεύματος ἐκείνου πηγή, ὃν ἵμερον Ζεὺς Γανυμήδους ἐρῶν ὠνόμασε. Locr. 102. E: πόθοι ἵμεροί τε ἔκλυτοι.

ἵνα, *ut* (vern. *damit, um*). I. Cum coniunct. in re praes. eaque cuius certus est finis. Prot. 310. E: ἀλλ' αὐτὰ ταῦτα καὶ νῦν ἥκω παρὰ σέ, ἵνα ὑπὲρ ἐμοῦ διαλεχθῇς αὐτῷ. Gorg. 453. C: τοῦ λόγου (ἕνεκα), ἵνα οὕτω προΐῃ cet. 454. B: ἀλλ' ἵνα μὴ θαυμάζῃς ἐὰν cet. Ib. ἵνα μὴ ἐθιζώμεθα cet. Conv. 174. A: ταῦτα δὴ ἐκαλλωπισάμην, ἵνα καλὸς παρὰ καλὸν ἴω. Pol. I. 341. B: ἀλλ' ἵνα μὴ αὖθις ἡμῖν τοιοῦτον ἐγγένηται, διόρισαι cet. III. 403. E. IV. 420. E: ἵνα δὴ ὅλη ἡ πόλις εὐδαιμονῇ. VI. 507. D: ἵνα μὴ εἴπω ὅτι οὐδεμιᾷ. VII. 553. A: ἵνα καὶ τοῦτο σαφέστερον ἴδωμεν. X. 610. C: ἵνα δὴ μὴ ἀναγκάζηται ἀθανάτους τὰς ψυχὰς ὁμολογεῖν. Legg. II. 655. B: ἵνα δὴ μὴ μακρολογία πολλή τις γίγνηται περὶ ταῦθ' ἡμῖν. Euthyd. 286. D. Post ἵνα τί, *cur* (plene ἵνα τί γένηται) ponitur indicat. Conv. 205. A: ἵνα τί δὲ βούλεται εὐδαίμων εἶναι ὁ βουλόμενος; Apol. 26. C: ἵνα τί ταῦτα λέγεις; — II. Cum optat. in re praeterita; etiam post praes., si praeteriti significatio in eo inest. Prot. 314. C: ἵν' οὖν μὴ ἀτελὴς γένοιτο ... στάντες ἐν τῷ προθύρῳ διελεγόμεθα. Conv. 174. E: χθὲς ζητῶν σε, ἵνα καλέσαιμι. Pol. III. 393. E: ἀπιέναι δὲ ἐκέλευε καὶ μὴ ἐρεθίζειν, ἵνα σῶς οἴκαδε ἔλθοι. 410. C: ἆρ' οὖν καὶ οἱ καθιστάντες μουσικῇ καὶ γυμναστικῇ παιδεύειν οὐχ, οὗ ἕνεκά τινες οἴονται, καθιστᾶσιν (i. q. *instituerunt*), ἵνα τῇ μὲν τὸ σῶμα θεραπεύοιντο, τῇ δὲ τὴν ψυχήν; IV. 430. A. Legg. III. 679. B. Apol. 32. C. al. Cum opt. et part. ἄν. Epin. 991. C. D. — III. Indicativo praeteriti antecedente, praecipue si indicat fieri aliquid debere vel debuisse, post ἵνα indicativus praeteriti sequitur. Prot. 335. C: σὲ ἐχρῆν ἡμῖν συγχωρεῖν ... ἵνα συνουσία ἐγίγνετο. Conv. 181. E: χρῆν ... καὶ νόμον εἶναι μὴ ἐρᾶν παίδων, ἵνα μὴ εἰς ἄδηλον πολλὴ σπουδὴ ἀνηλίσκετο. Men. 89. B: οὓς ἡμεῖς ... ἐφυλάττομεν ἂν ἐν ἀκροπόλει ... ἵνα μηδεὶς αὐτοὺς διέφθειρεν. Crit. 44. D: εἰ γὰρ ὤφελον ... οἷοί τε εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε ἦσαν αὖ καὶ ἀγαθὰ τὰ μέγιστα. Etiam indic. aorist. sequitur indicans fieri aliquid potuisse. Theaet. 161. C: ὅτι οὐκ εἶπεν ἀρχόμενος τῆς ἀλη-

θείας ... ἵνα μεγαλοπρεπῶς ... ἤρξατο ἡμῖν λέγειν cet. Euthyd. 304. E: *καὶ μὴν ... ἄξιόν γ' ἦν ἀκούειν. Τί δέ; ἦν δ' ἐγώ. Ἵνα ἤκουσας ἀνδρῶν διαλεγομένων* cet. * *ubi.* Soph. 243. B: *νῦν δὲ ὁρᾷς ἵν' ἐσμὲν αὐτοῦ πέρι τῆς ἀπορίας.* Phil. 61. B: *ὀρθῶς, ἵν' οἰκεῖ, πύθοιτ' αὐτοῦ.* Etiam i. q. *in quo.* Gorg. 484. E: *ἵν' αὐτὸς αὑτοῦ τυγχάνῃ βέλτιστος ὤν* (Eurip.), sq. *ὅπου δ' ἂν φαῦλος ᾖ.* Alc. II. 146. A. Legg. V. 734. C: *ἡ βούλησις τῆς αἱρέσεως τῶν βίων οὐχ ἵνα τὸ λυπηρὸν ὑπερβάλλῃ (ὑπερβάλλει?), ὅπου δ' ὑπερβάλλεται.*

ἰνδάλλομαι, *similitudinem* vel *speciem gero.* Legg. XII. 959. A: *τὸ δὲ σῶμα ἰνδαλλόμενον ἡμῶν ἑκάστοις ἕπεσθαι.* Pol. II. 381. E: *ὡς ... θεοί τινες περιέρχονται νύκτωρ πολλοῖς ξένοις καὶ παντοδαποῖς ἰνδαλλόμενοι.* * *videor.* Theaet. 189. E: *τοῦτο γάρ μοι ἰνδάλλεται, διανοουμένη οὐκ ἄλλο τι ἢ διαλέγεσθαι (ἡ ψυχή).*

ἴον, τό, *viola.* Conv. 212. E: *κιττοῦ τέ τινι στεφάνῳ δασεῖ καὶ ἴων.*

ἰός, ὁ, *aerugo.* Tim. 59. C: *τὸ δ' ἐκ γῆς αὐτῷ* (v *αὐτὸ*) *μιχθὲν ... ἐκφανὲς καθ' αὑτὸ γιγνόμενον ἰὸς λέγεται.* Pol. X. 609. A: *χαλκῷ δὲ καὶ σιδήρῳ ἰόν (κακόν τε καὶ νόσημα).*

ἰοὺ ἰού, exclamatio est *mirantis* (Gorg. 499. B: *ἰοὺ ἰού ... ὡς πανοῦργος εἶ* cet. Hipp. mai. 291. E: *ἰοὺ ἰού ... ἡ θαυμασίως τε καὶ μεγάλως ... εἴρηκας*) et *gaudio exsultantis.* Conv. 223. A: *ἰοὺ ἰού, φάναι τὸν Ἀγάθωνα, Ἀλκιβιάδη, οὐκ ἔσθ' ὅπως ἂν ἐνθάδε μείναιμι* cet. Pol. IV. 432. D: *ἰοὺ ἰού, εἶπον, ὦ Γλαύκων· κινδυνεύομέν τι ἔχειν ἴχνος* cet.

ἰπνοπλάθης (i. q. *ἰπνοπλάστης*), *ὁ*, *qui fornaces* vel *furnos* (fictiles) *facit.* Theaet. 147. A: *πηλὸς ὁ τῶν ἰπνοπλαθῶν* (sic, vel *ἰπνοπλάθων*, codd. Vulgo *κοροπλάθων*).

ἱππάζομαι, *equitor*, h. e. *curro.* Ion. 540. D: *ἔγνως ἂν ἵππους εὖ καὶ κακῶς ἱππαζομένους.* E.

ἵππαρχος, ὁ, *magister equitum.* Legg. VIII. 847. D: *ἵππαρχοι καὶ στρατηγοὶ τούτων ἔστωσαν κύριοι εἰσαγωγῆς τε καὶ ἐξαγωγῆς.* IX. 880. D. VI. 756. A: *ἱππάρχων ... κατάστασις ἂν ἡμῖν ἔτι λοιπὴ γίγνοιτο.* 760. A. VIII. 834. C: *φυλάρχοις τε καὶ ἱππάρχοις δεδομένη κοινὴ κρίσις ἁπάντων τῶν ... δρόμων* cet. B. VI. 755. C: *ἱππάρχους καὶ φυλάρχους.* E.

ἱππασία, ἡ, *equitatio.* Eryx. 396. A: *περὶ ἱππασίας, ὅπως ἂν τις ἄριστα ἱππεύοι.*

ἱππεύς, ὁ, *eques.* Theag. 126. B: *δεινὸς ... ἱππεύς.* Ion. 540. E. Pol. VIII. 552. A: *μήτε ἱππέα μήτε ὁπλίτην.* Men. 93. D: *ὅτι Θεμιστοκλῆς ... τὸν υἱὸν ἱππέα ... ἐδιδάξατο ἀγαθόν.* De virt. 377. B. Lach. 191. B: *σὺ τὸ τῶν Σκυθῶν ἱππέων πέρι λέγεις.* Ep. VII. 328. D: *οὐδὲ ἱππέων ἐνδεὴς γενόμενος.* Theaet. 183. D: *ἱππέας εἰς πεδίον προ-*

καλεῖ Σωκράτη εἰς λόγους προκαλούμενος. Legg. VI. 755. E: *χωρὶς μὲν τοὺς ὁπλίτας, χωρὶς δὲ τοὺς ἱππέας.* XII. 943. A. Lach. 191. C: *ἀναστρεφομένους ὥσπερ ἱππέας μάχεσθαι.* Men. 94. B.

ἱππεύω, *equito.* Eryx. 396. A: *ὅπως ἄν τις ἄριστα ἱππεύοι.* Pol. V. 467. E: *διδαξαμένους ἱππεύειν.* Legg. I. 643. C. Alc. II. 145. C. Legg. VI. 756. B: *τούτους ἡγεμόνας εἶναι πάντων τῶν ἱππευόντων.* Hipp. min. 375. A: *ἦ ἑκών τις κακῶς ἱππεύσει.*

ἱππικός, ή, όν, *equester; rei equestris* vel *equitandi peritus;* fem. *res equestris*, neutr. *equitatus* s. *copiae equestres.* Pol. I. 333. C: *ὁ ἱππικός.* X. 601. C. Euth. 13. A. al. Pol. I. 342. C: *οὐδὲ ἱππικὴ ἱππικῇ, ἀλλ' ἵπποις (τὸ ξυμφέρον σκοπεῖ).* Euth. 13. A: *ἡ ... ἱππικὴ ἵππων θεραπεία.* Lach. 182. A. Legg. VI. 756. A: *φυλάρχους ... πᾶν τὸ ἱππικὸν αἱρείσθω.* Lach. 191. B: *τὸ ... γὰρ ἱππικὸν τὸ ἐκείνων (τῶν Σκυθῶν) οὕτω μάχεται.* Legg. VII. 804. E: *ἱππικῆς.* Euth. 13. B: *οἱ ἵπποι ὑπὸ τῆς ἱππικῆς θεραπευόμενοι.* Lach. 193. B: *τὸν μετ' ἐπιστήμης ... ἱππικῆς καρτεροῦντα ἐν ἱππομαχίᾳ.* Parm. 126. C: *πρὸς ἱππικῇ τὰ πολλὰ διατρίβει.* Pol. I. 335. C: *ἀλλὰ τῇ ἱππικῇ οἱ ἱππικοὶ ἀφίππους* (int. *δύνανται ποιεῖν*); Men. 70. A. Lach. 191. D: *ἐν τῷ ἱππικῷ καὶ ἐν ξύμπαντι τῷ πολεμικῷ εἴδει.* Legg. II. 658. A: *ἱππικόν (ἀγῶνα).* XII. 947. E. Alc. II. 145. D. De lucri cup. 226. A: *ἱππικὸν ἄνδρα.* Eryx. 403. C: *εἴ τις τοῦτον ἱππικὸν ποιήσειεν.* Legg. VII. 813. E: *ὅσα εἰς ἱππικὴν μαθήματα συντείνει.* VIII. 834. C: *τὴν ἱππικὴν παιδιάν.* Hipp. mai. 284. A: *ὁ ... κάλλιστ' ἐπιστάμενος ἱππικὴν παραδιδόναι* cet. Prot. 350. A: *πότερον οἱ ἱππικοί, ἢ οἱ ἄφιπποι;* Pol. I. 335. C. Apol. 25. B. Legg. XII. 949. A: *γυμνικῶν τε καὶ ἱππικῶν ἄθλων.* Apol. 20. B: *ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν.* Pol. III. 412. B: *γυμνικοὺς ἀγῶνας καὶ ἱππικούς.* Id. Menex. 249. B. Alc. I. 124. E: *παρὰ τοὺς ἱππικοὺς γὰρ ἂν ἦμεν.* Legg. VI. 753. B: *ὁπόσοιπερ ἂν ὅπλα ἱππικὰ ἢ πεζικὰ τιθῶνται.* Apol. 27. B: *ἱππικὰ ... πράγματα.* Alc. I. 124. E: *ἆρα τὰ ἱππικά;* Theag. 126. A: *εἰ τὰ ἱππικὰ ἐτύγχανες ἐπιθυμῶν σοφὸς γενέσθαι.*

ἱπποδρομία, ἡ, *certamen equestre.* Ion. 537. A: *ἐν τῇ ἱπποδρομίᾳ τῇ ἐπὶ Πατρόκλῳ.*

ἱππόδρομος, ὁ, *curriculum equorum.* Critia 117. C: *ἐξῃρημένος ἱππόδρομος ἦν αὐτοῖς.*

ἱπποκόμος, ὁ, *equiso.* Polit. 261. D: *ὥσπερ βοηλάτην ἤ τινα ἱπποκόμον.* Legg. II. 666. E.

ἱππομαχία, ἡ, *pugna equestris.* Lach. 193. B: *ἐν ἱππομαχίᾳ.*

ἱππόμορφος, ὁ ἡ, *speciem equinam habens.* Phaedr. 253. C: *ἱππομόρφω ... δύο τινὲ εἴδη.*

ἵππος, ὁ et *ἡ*, *equus, equa.* Pol. II. 375. A: *ὁ μὴ*

θυμοειδὴς εἴτε ἵππος εἴτε κύων cet. Hipp. mai. 288. B: *θήλεια ἵππος.* 289. D. Crat. 393. B: *τὸν ἵππου ἔκγονον ἵππον (καλεῖν).* Conv. 221. A: *διὰ τὸ ἐφ' ἵππου εἶναι.* Pol. I. 352. E: *ἵππου ... ἔργον.* Apol. 36. D: *εἴ τις ἵππῳ* (*equo singulari*) *ἢ ξυνωρίδι ἢ ζεύγει νενίκηκεν Ὀλυμπιάσιν.* Phaed. 73. E: *ἵππον γεγραμμένον ἰδόντα.* Theaet. 190. C: *ὡς ἀνάγκη τὸν βοῦν ἵππον εἶναι.* Crat. 423. D: *ἵππον θέοντα.* Conv. 221. A: *ἵππον ἔχων* (*in equo*). Pol. II. 359. D: *ἵππον χαλκοῦν.* Hipp. mai. 295. C: *ἵππον καλόν.* Crat. 407. D: *οἷοι Εὐθύφρονος ἵπποι* (Hom.). Phil. 67. Pol. I. 335. B. Hipp. mai. 288. C: *πάγκαλαι ... παρ' ἡμῖν ἵπποι γίγνονται.* Gorg. 516. A: *ὄνων ... ἐπιμελητὴς καὶ ἵππων* cet. Pol. I. 328. A: *λαμπὰς ... ἀφ' ἵππων.* 335. B: *εἰς τὴν τῶν ἵππων ἀρετήν.* V. 452. C: *ἵππων ὀχήσεις.* VII. 537. A: *ἐπὶ τῶν ἵππων.* Critia 116. D: *ἐξ ὑποπτέρων ἵππων ἡνίοχον.* Legg. VII. 794. C: *ἐφ' ἵππων* (i. q. *ἱππικῆς*) *διδασκάλους.* VIII. 834. D: *τοξότης ... ἀφ' ἵππων.* Men. 93. D: *ἐπέμενε ... ἐπὶ τῶν ἵππων ὀρθὸς ἑστηκώς.* Theaet. 184. D: *ὥσπερ ἐν δουρείοις ἵπποις.* Pol. I. 328. A: *ἁμιλλώμενοι τοῖς ἵπποις.* Critia 117. B. Legg. XII. 947. C: *σὺν τοῖς ἵπποισι ... ἱππέας.* Pol. III. 396. B: *ἵππους χρεμετίζοντας.* Critia 119. A.

ἱπποτροφία, ἡ, *equos nutrire.* Lys. 205. C: *πλούτους τε καὶ ἱπποτροφίας.*

ἱπποφορβία, ἡ, *equorum pastio.* Polit. 299. D: *ἤ καί τινα ἱπποφορβίαν.*

ἱπποφορβός, ὁ, *qui equos pascit.* Polit. 261. D: *ἱπποφορβῷ ... μᾶλλον προσεοικέναι.*

ἴς, ἡ, *fibra.* Tim. 85. D: *καιρὸν ... τούτων ἶνες τῇ τῆς φύσεως γενέσει φυλάττουσιν.* 82. C: *νεῦρον ... ἐξ ἰνῶν διὰ τὴν συγγένειαν (γίγνεται).* D. 84. A: *τὸ ἐξ ἰνῶν αἷμα* (v. *ἐξ ἐκείνων ἅμμα*) *καὶ νεύρων ἀποχωριζόμενον.* 85. C: *τὸ τῶν ἰνῶν γένος.* E: *τὰς ἶνας.*

ἰσάζω, *aequalis sum.* Legg. VI. 773. A: *ἐὰν τἄλλα ἰσάζῃ.* Med. *aequiparo.* Tim. 41. C: *δι' ἐμοῦ ... ταῦτα γενόμενα καὶ βίου μετασχόντα θεοῖς ἰσάζοιτ' ἄν.*

ἰσάκις, *aequaliter.* Theaet. 147. E: *τὸν ... δυνάμενον ἴσον ἰσάκις γίγνεσθαι.* 148. A. Pol. VIII. 546. C.

ἰσάριθμος, ὁ ἡ, *numero par.* Tim. 41. D: *διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις.* Legg. VIII. 845. A: *κατὰ ῥᾶγα βοτρύων καὶ σῦκον συκῆς ἰσαρίθμους πληγὰς τούτοις μαστιγοῦσθω.*

ἰσημερία, ἡ, *aequinoctium.* Ax. 370. B: *ἰσημερίας τε καὶ τροπὰς διττάς.*

ἰσθμός, ὁ, *meatus* vel *trames* (inter duos locos interiectus eosque coniungens). Tim. 69. E: *ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες.*

ἴσμεν (Phaedr. 261. D. Soph. 228. C. 263. E.), *ἴστε*, *ἴσασι* (Prot. 323. D. Theaet. 173. C. Pol. X. 599. A. al.) cet., vide *εἴδον* Vol. I. p. 604 sq.

ἰσογονία, ἡ, *generis aequalitas.* Menex. 239. A: *ἡ ἰσογονία ... ἡ κατὰ φύσιν.*

ἰσόδρομος, ὁ ἡ, *parem cursum habens*, et in univ. *aequalis.* Tim. 38. D: *εἰς τοὺς τάχει ... ἰσόδρομον ἡλίῳ κύκλον ἰόντας.* Locr. 96. E: *δύο δ' ἰσόδρομοι ἀελίῳ ἐντί.*

ἰσοδυναμία, ἡ, *aequalis potestas.* Locr. 95. B: *τὰ ... καττὰν ἀρίσταν ἀναλογίαν συντεθέντα ἐν ἰσοδυναμίᾳ.*

ἰσόθεος, ὁ ἡ, *deo aequalis.* Phaedr. 255. A: *ὡς ἰσόθεος θεραπευόμενος.* 258. C: *ἆρ' οὐκ ἰσόθεον ἡγεῖται αὐτός τε αὑτὸν ἔτι ζῶν —;* Pol. II. 360. C: *ἐν τοῖς ἀνθρώποις ἰσόθεον ὄντα.* VIII. 568. B: *ὡς ἰσόθεόν γ' ... τὴν τυραννίδα ἐγκωμιάζει.*

ἰσοκρατία, ἡ, *aequalis potestas.* Locr. 95. C: *μὴ μετ' ἰσοκρατίας* (v. *ἰσοκρατείας*) *ἀμάχανον παντί.*

ἰσομέτρητος, ὁ ἡ, *parem magnitudinem* vel *staturam habens.* Phaedr. 235. D: *χρυσῆν εἰκόνα ἰσομέτρητον.*

ἰσομήκης, ὁ ἡ, *aequalem habens longitudinem.* Pol. VIII. 546. C: *τὴν μὲν* (*ἁρμονίαν*) *ἴσην ἰσάκις ... τὴν δὲ ἰσομήκη μὲν ... προμήκη* (v. *τῇ προμήκει*) *δέ.*

ἴσον, *aequaliter.* Parm. 137. E: *οὗ ἂν τὰ ἔσχατα πανταχῇ ἀπὸ τοῦ μέσου ἴσον ἀπέχῃ.* 145. B. Tim. 33. B: *ἐκ μέσου πάντῃ πρὸς τὰς τελευτὰς ἴσον ἀπέχον.* 62. D. Critia 113. D: *πάντῃ ἴσον ἀφεστῶτας.* Ep. VII. 342. B.

ἰσονομία, ἡ, *iuris* vel *legum aequabilitas*, et in univ. *aequalis ratio.* Pol. VIII. 563. B: *ἐν γυναιξὶ ... πρὸς ἄνδρας καὶ ἀνδράσι πρὸς γυναῖκας ὅση ἡ ἰσονομία καὶ ἐλευθερία γίγνεται.* Locr. 99. B: *τοὶ λόγοι αὐτῶν ἐν ἰσονομίᾳ ἐντί.* Men. 239. A: *ἡ ἰσογονία ἡμᾶς ἡ κατὰ φύσιν ἰσονομίαν ἀναγκάζει ζητεῖν κατὰ νόμον.* Ep. VII. 336. D.

ἰσονομικός, ἡ, όν, *iuris aequabilitatis studiosus.* Pol. VIII. 561. E: *παντάπασιν ... διελήλυθας βίον ἰσονομικοῦ τινὸς ἀνδρός.*

ἰσόνομος, ὁ ἡ, *iuris aequabilitate fruens.* Ep. VII. 326. D: *δικαίου ... καὶ ἰσονόμου πολιτείας ... μηδ' ὄνομα ἀκούοντας ἀνέχεσθαι.*

ἰσοπαλής, ὁ ἡ, *aequalis.* Soph. 244. E: *μεσσόθεν ἰσοπαλὲς πάντῃ* (Parm.). Tim. 62. E: *εἰ γάρ τι καὶ στερεὸν εἴη κατὰ μέσον τοῦ παντὸς ἰσοπαλές.*

ἰσόπλευρος, ὁ ἡ, *latera aequalia habens.* Tim. 54. A: *τὸ ἰσόπλευρον τρίγωνον.* E. 55. E: *τὸ ... ἐπίπεδον ἰσόπλευρον.* Locr. 98. C. Tim. 55. E: *ἰσοπλεύρου.* Theaet. 147. E: *τὸ μὲν* (*ἀριθμὸν*) *... τετράγωνόν τε καὶ ἰσόπλευρον προσείπομεν.* 148. A. Tim. 54. E: *τρίγωνα ... ἰσόπλευρα.* 55. B: *ὑπὸ πέντε ἐπιπέδων τριγώνων ἰσοπλεύρων περιεχο-*

μένης ἑκάστης. Ib. εἴκοσι βάσεις ἔχον ... ἰσοπλεύρους. C. A: κατὰ ... ἰσόπλευρα τρίγωνα.

ἰσοῤῥοπία, ἡ, *aequilibritas*. Phaed. 109. A: τῆς γῆς αὐτῆς τὴν ἰσοῤῥοπίαν.

ἰσόῤῥοπος, ὁ ἡ, *aequilibris, aequalis*. Phaed. 109. A: ἰσόῤῥοπον ... πρᾶγμα. Legg. V. 733. C: δεῖ διανοεῖσθαι τὸν ἰσόῤῥοπον βίον. Tim. 88. B: ἵνα ... γίγνησθον ἰσοῤῥόπω καὶ ὑγιῆ. 52. E: διὰ ... τὸ μήθ' ὁμοίων δυνάμεων μήτ' ἰσοῤῥόπων ἐμπίπλασθαι. Polit. 270. A: ἰσοῤῥοπώτατον.

ἰσοῤῥοπῶ, *aequilibris* vel *aequalis sum*. Legg. V. 733. D: ἐν ᾧ δ' αὖ βίῳ ἰσοῤῥοπεῖ. Tim. 25. E: κατ' οὐδὲν αὐτῆς ἰσοῤῥοπεῖν. Legg. VII. 794. E: τῆς φύσεως ... ἑκατέρων τῶν μελῶν σχεδὸν ἰσοῤῥοπούσης.

ἰσοῤῥόπως, *aequabiliter*. Phaedr. 247. B: ἰσοῤῥόπως ... πορεύεται.

ἴσος, η, ον, *aequalis, par*; *idem*; etiam *aequus*. Theaet. 148. A: πᾶς (ἀριθμὸς) ὃς ἀδύνατος ἴσος ἰσάκις γίγνεσθαι. Critia 115. E: ἴσος ἐκείνῳ. Legg. VII. 805. A: αἷς ... ὅπλων κοινωνία καὶ τοῖς ἀνδράσιν ἴση προστεταγμένη ἴσως ἀσκεῖται. Phaedr. 238. E: κρεῖττον δὲ καὶ ἴσον ἐχθρόν. Phaed. 74. C: οὐ ταὐτὸν ἄρ' ἐστὶ ... ταῦτά τε τὰ ἴσα καὶ αὐτὸ τὸ ἴσον. 75. B: ἐκείνου ὀρέγεται τοῦ ὃ ἔστιν ἴσον. Phil. 14. A: τὸ ... ἴσον τοῦ σοῦ τε καὶ ἐμοῦ λόγου. Eryx. 405. B: ὅτι ἴσον εἴη πεῖσαι, ὅπερ ἂν τὸ λεγόμενον λίθον ἑψῆσαι. Theaet. 158. D: ἴσου ὄντος τοῦ χρόνου ὃν καθεύδομεν ᾧ ἐγρηγόραμεν. Polit. 257. B: τῶν ἀνδρῶν ἕκαστον θέντος τῆς ἴσης ἀξίας. Phaed. 75. B: αὐτοῦ τοῦ ἴσου. Phil. 25. D: τὴν τοῦ ἴσου καὶ διπλασίου (γένναν). Pol. II. 359. C: ἐπὶ τὴν τοῦ ἴσου τιμήν. Euthyd. 291. C. Parm. 149. B: τῷ ἴσῳ τούτῳ (antec. ᾧ). Tim. 36. A: τὴν ... ἴσῳ μὲν κατ' ἀριθμὸν ὑπερέχουσαν, ἴσῳ δὲ ὑπερεχομένην. Legg. VI. 757. E: διὸ τῷ τοῦ κλήρου ἴσῳ ἀνάγκη προσχρήσασθαι. Theaet. 147. E: τὸν μὲν (ἀριθμὸν) δυνάμενον ἴσον ἰσάκις γίγνεσθαι. Legg. XII. 957. C: τὸν μέλλοντα δικαστὴν ἴσον (*aequum*) ἔσεσθαι. Pol. VIII. 546. C: τὴν ... ἴσην (ἁρμονίαν). Prot. 337. A: μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ. Gorg. 483. C: ἂν τὸ ἴσον ἔχωσι. Phaed. 74. A: φαμέν πού τι εἶναι ἴσον ... αὐτὸ τὸ ἴσον. Phil. 25. A: τὸ ἴσον καὶ ἰσότητα. Pol. III. 400. B: ἴσον ἄνω καὶ κάτω τιθέντος. VIII. 561. B: εἰς ἴσον δή τι καταστήσας τὰς ἡδονὰς διάγει. Tim. 34. B: ὁμαλὸν πανταχῇ τε ἐκ μέσου ἴσον ... σῶμα ἐποίησε. Legg. III. 694. A: ἐπὶ τὸ ἴσον ἄγοντες. Phaed. 74. B: λίθοι ... ἴσοι. Legg. XII. 946. A: ἐὰν δέ τισιν ἴσαι (ψῆφοι) γίγνωνται. B. Phaed. 74. B: αὐτὰ τὰ ἴσα ἔστιν ὅτε ἄνισά σοι ἐφάνη —; Legg. VI. 774. C: ὡς ἴσα ἀντὶ ἴσων ἐστὶ τῷ μήτε λαμβάνοντι μήτ' ἐκδιδόντι. Phil. 46. D: ἐξ ἴσων ... λυπῶν τε καὶ ἡδονῶν. Pol. I. 343. D: ἀπὸ τῶν ἴσων πλέον εἰςφέρει. VII. 529. E. Pol. VIII. 558. C: ἰσότητά τινα ὁμοίως ἴσοις τε καὶ ἀνίσοις δια-

νέμουσα. Phaed. 74. D: οἷς νῦν δὴ ἐλέγομεν τοῖς ἴσοις. Prot. 337. A: ἴσους (ἀκροατὰς) δὲ μὴ (χρὴ εἶναι). Phaedr. 240. C: ἐπ' ἴσας ἡδονὰς ἄγουσα. Legg. V. 737. C: τὰς οἰκήσεις ὅτι μάλιστα ἴσας ἐπινεμητέον. Men. 82. B: ἴσας ἔχον τὰς γραμμὰς ταύτας πάσας. Phaed. 75. A: τὸ πρῶτον ἰδόντες τὰ ἴσα. Conv. 185. C: διδάσκουσι γάρ με ἴσα (*similiter cadentia*) λέγειν οὑτωσὶ οἱ σοφοί. 189. E: σκέλη τὰ ἴσα (*pari numero*) ταῖς χερσί. Pol. IV. 441. C: ἴσα τὸν ἀριθμόν. Legg. V. 733. B. — ἐξ ἴσου vel adiectivi (*aequalis, similis*) vel adverbii (*aequaliter, pariter*) amplificatio est. Gorg. 517. A: οὗτοι ... ἀνεφάνησαν ἐξ ἴσου τοῖς νῦν ὄντες. Parm. 150. A. Conv. 214. C: μὴ οὐκ ἐξ ἴσου ᾖ. Pol. X. 599. B: οὐ γὰρ ἐξ ἴσου ἥ τε τιμὴ καὶ ἡ ὠφέλεια. Legg. VI. 777. D: τοὺς ἐξ ἴσου. XI. 919. D: τοῖς μὴ ἐξ ἴσου ἑαυτῷ. Menex. 238. E: αἰτία ... ἡ ἐξ ἴσου γένεσις. Crit. 50. E. Soph. 227. B: τιμᾷ πρὸς τοῦτο ἐξ ἴσου πάσας. Parm. 150. A: ἣ ἐξ ἴσου ἂν τῷ ἑνὶ δι' ὅλου αὐτοῦ τεταμένη εἴη. Pol. VIII. 557. A: (ὅταν) τοῖς ... λοιποῖς ἐξ ἴσου μεταδῶσι πολιτείας τε καὶ ἀρχῶν. 561. B: ἐξ ἴσου τρέφων. C. Legg. XI. 931. C. Similiter ἐξ ἴσης Legg. IX. 861. A. — δι' ἴσου, *pari intervallo*. Pol. X. 617. B: ἄλλας ... καθημένας πέριξ δι' ἴσου τρεῖς.

ἰσοσκελής, ὁ ἡ, *aequalia habens latera* vel *crura*. Euth. 12. D: ὃς ἂν (ἀριθμὸς) μὴ σκαληνὸς ᾖ, ἀλλ' ἰσοσκελής. Tim. 54. A: τὸ ... ἰσοσκελές (τρίγωνον). B. 55. B. Locr. 98. A. Tim. 54. C: ἐκ τοῦ ἰσοσκελοῦς τριγώνου ξυναρμοσθέν.

ἰσότης, ἡ, *aequalitas*. Phaedr. 240. C: ἡ ... χρόνου ἰσότης. Gorg. 508. A: ὅτι ἡ ἰσότης ἡ γεωμετρικὴ καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις μέγα δύναται. Phaed. 74. B. Legg. VI. 757. A: ὡς ἰσότης φιλότητα ἀπεργάζεται. Def. 411. E: ἰσότης κοινωνική (δικαιοσύνη). Prot. 357. B: ἰσότητος ... σκέψις. Parm. 140. E: ὅτι ... ἰσότητος χρόνου καὶ ὁμοιότητος μεθέξει. Legg. VI. 773. D: τῆς τῶν γάμων ἰσότητος ἀπλήστου χρημάτων οὔσης. Locr. 102. B: ἐν ἰσότατι ἀποῤῥοᾶς καὶ ἐπιῤῥοᾶς. Parm. 149. E: εἰ ... ἰσότητα ἔχοιεν. Phil. 25. A: τὸ ἴσον καὶ ἰσότητα. Pol. VIII. 558. C: ἰσότητά τινα ... διανέμουσα. Legg. III. 684. D: ἰσότητα ... τινὰ κατασκευάζουσα τῆς οὐσίας. 695. C: ἰσότητά τινα κοινὴν εἰςφέρων. VI. 757. B: τὴν δὲ ἀληθεστάτην καὶ ἀρίστην ἰσότητα οὐκέτι ῥάδιον παντὶ ἰδεῖν. VIII. 848. B: τὴν τῆς ὁμοιότητος ἰσότητα ἡ νομὴ πᾶσιν ἀποδιδότω τὴν αὐτήν. VI. 757. B: δυοῖν ... ἰσοτήτοιν οὔσαιν. E: οὕτω ... χρηστέον ... τοῖν ἰσοτήτοιν ἀμφοῖν. V. 633. B: σφοδρότησιν ἰσότησί τε.

ἰσοῦμαι, *aequalis* vel *similis sum*. Parm. 156. B: αὐξάνεσθαι ... καὶ ἰσοῦσθαι. 157. B: οὔτε ἰσούμενον εἴη ἄν. Phaedr. 238. E: οὔτε δὴ κρείττω οὔτε ἰσούμενον ἑκὼν ἐραστὴς παιδικὰ ἀνέξεται.

ἰσόψηφος, ὁ ἡ, par in suffragiis ferendis, aequalem habens auctoritatem. Legg. III. 692. A: *τὴν τῶν ... γερόντων (δύναμιν) ἰσόψηφον εἰς τὰ μέγιστα τῇ τῶν βασιλέων ποιήσασα δυνάμει.*

ἵστημι, sisto, constituo, statuo; perf., plusq. et aor. 2. *sto, consisto* vel *subsisto;* etiam *desino, cesso.* Crat. 437. A: *ὅτι ἵστησιν ἡμῶν ἐπὶ τοῖς πράγμασι τὴν ψυχήν.* B: *ὅτι ἵστησι τὸν ῥοῦν.* Theaet. 157. B: *οὔτε ἄλλο οὐδὲν ὄνομα ὅ τι ἂν ἱστῇ.* Pol. I. 361. B: *παρ' αὐτὸν ἱστῶμεν τῷ λόγῳ ἄνδρα ἁπλοῦν καὶ γενναῖον.* Crat. 437. B: *τὸ πιστὸν ἱστᾶν* (pro *ἱστάναι*) ... *σημαίνει* (si locus est sanus). Soph. 252. A: *τῶν ὡς ἓν ἱστάντων* (int. *τὸ πᾶν*). Menex. 235. A: *ἑκάστοτε ἕστηκα ἀκροώμενος.* Phaedr. 275. D: *ἕστηκε μὲν ὡς ζῶντα.* Soph. 250. C: *οὔτε ἕστηκεν οὔτε κινεῖται.* Conv. 175. A: *ἐν τῷ τῶν γειτόνων προθύρῳ ἕστηκε.* Pol. IV. 436. D. Legg. X. 893. B. al. Ep. VII. 349. A: *τὼ μὲν ἑστάτην σιγῇ δακρύοντε.* Pol. IV. 436. D: *ὡς οἵ γε στρόβιλοι ὅλοι ἑστᾶσί τε ἅμα καὶ κινοῦνται.* Gorg. 468. B: *ἕσταμεν, ὅταν ἑστῶμεν.* Parm. 132. D: *τὰ ... εἴδη ταῦτα ὥσπερ παραδείγματα ἑστάναι ἐν τῇ φύσει.* 162. E: *τὸ δὲ ἡσυχάζον (ἀνάγκη) ἑστάναι.* Pol. IV. 436. C: *ἑστάναι ... καὶ κινεῖσθαι.* Legg. II. 665. E: *ἑστὼς ὀρθός.* Men. 93. D: *ὀρθὸς ἑστηκώς.* (Id. de virt. 377. B.) Parm. 156. C: *ὅταν ἑστὸς* (sic Cl. c. aliis. Vulgo *ἑστὼς*) *ἐπὶ τὸ κινεῖσθαι μεταβάλλῃ.* D. E. Legg. VII. 802. C: *μέχρι τῆς ἑστηκυίας τε καὶ ἔμφρονος ἡλικίας.* Parm. 156. D: *ἔκ γε τοῦ ἑστάναι ἑστῶτος ἔτι.* Prot. 344. C: *τὸν ἑστῶτα* (opp. *τὸν κείμενον*). Pol. VIII. 545. A: *κατὰ τὴν Λακωνικὴν ἑστῶτα πολιτείαν.* Critia 116. D: *ἐφ' ἅρματος ἑστῶτα.* Theaet. 183. E: *οἱ ἓν ἑστὸς* (v. *ἑστὼς*) *λέγουσι τὸ πᾶν.* Soph. 249. A: *ἀκίνητον ἑστὸς εἶναι.* C: *τὸ πᾶν ἑστηκὸς ἀποδέχεσθαι.* Parm. 146. A: *μὴ ἑστὸς* (sic Cl. al.) *δὲ κινεῖσθαι.* 156. C. Gorg. 472. A: *ὧν οἱ τρίποδες οἱ ἐφεξῆς ἑστῶτές εἰσιν ἐν τῷ Διονυσίῳ.* Theaet. 191. A: *ἐκτὸς τοῦ γελοίου ἑστῶτες.* Legg. X. 893. C: *τά τε ἑστῶτα ... καὶ τὰ κινούμενα.* Ib. *τὴν τῶν ἑστώτων ἐν μέσῳ ... δύναμιν.* Crat. 412. D: *ὥστε χρῆσθαι ὥσπερ ἑστῶσι τοῖς ἄλλοις.* Legg. X. 893. E. Soph. 252. A: *οἱ δὲ ὄντως ἑστηκότα εἶναι (λέγοντες).* Parm. 159. A: *καὶ κινούμενα καὶ ἑστῶτα.* Conv. 220. C: *αὐτόθι ἕωθέν τι εἱστήκει σκοπῶν.* D. Lys. 206. E. Critia 116. E: *εἰκόνες ἁπάντων ἕστασαν ἐκ χρυσοῦ.* Phaed. 118: *καὶ ὃς τὰ ὄμματα ἔστησεν* (*fixit oculos*, h. e. *rigidos habuit oculos*). De lucri cup. 228. D: *ἔστησεν αὐτοῖς Ἑρμᾶς κατὰ τὰς ὁδούς.* Critia 108. C: *ἀθυμοῦντες ἄνδρες οὔπω τρόπαιον ἔστησαν.* Theaet. 157. B: *ἐάν τί τις στήσῃ τῷ λόγῳ.* 183. A: *ἵνα μὴ στήσωμεν αὐτοὺς (αὐτὸ?) τῷ λόγῳ.* Phaedr. 247. E: *ὁ ἡνίοχος πρὸς τὴν φάτνην τοὺς ἵππους στήσας.* Menex. 240. D: *στήσαντες τρόπαια τῶν βαρβάρων.* 242. E. Polit. 270. D: *αὕτη*

(ἡ ἡλικία) πρῶτον ... ἔστη πάντων. Phil. 24. D. Phaedr. 247. B: ἔστησαν ἐπὶ τῷ τοῦ οὐρανοῦ νώτῳ. Theaet. 153. D: εἰ δὲ σταίη τοῦτο ὥσπερ δεθέν. Legg. X. 895. A: εἰ σταίη πως τὰ πάντα ὁμοῦ γενόμενα. Parm. 130. D: ὅταν ταύτῃ στῶ. Apol. 28. B: οὐδὲν δὲ δεινὸν μὴ ἐν ἐμοὶ στῇ. Legg. VI. 752. D: ὅπως ἂν στῶσιν ὡς ἀσφαλέστατα καὶ ἄριστα. Phaedr. 245. E: πᾶσάν τε γένεσιν συμπεσοῦσαν στῆναι. Prot. 310. B: στὰς παρ᾽ ἐμοί. Phaed. 116. B: στὰς παρ᾽ αὐτόν. Tim. 63. A. Pol. IX. 584. D: ἐν μέσῳ στάντα. Legg. X. 890. B: στάντα ἐν τῇ πόλει. Soph. 231. C: πρῶτον δὴ στάντες οἷον ἐξαναπνεύσωμεν. Legg. VII. 800. C. Phaedr. 247. C: στάσας ... αὐτάς. Conv. 220. D: εἰ καὶ τὴν νύκτα ἑστήξοι. Pass. Phaedr. 236. B: σφυρήλατος ἐν Ὀλυμπίᾳ στάθητι (Horat. *aeneus ut stes*). **in libra pono*, h. e. *pendo*, *pondero*. Tim. 63. B: εἴ τις ... ἱσταίη τιθεὶς (v. ἱστᾷ ἢ τιθεὶς) εἰς πλάστιγγας. Prot. 356. B: ἐὰν ... ἡδέα πρὸς ἡδέα ἱστῇς. Ib. ὥσπερ ἀγαθὸς ἱστάναι ἄνθρωπος. Pol. X. 602. D. Euth. 70. C. De iusto 373. B: οὐχ ἱστάντες; C. Prot. 356. B: τὸ ἐγγὺς καὶ τὸ πόῤῥω στήσας ἐν τῷ ζυγῷ. Pol. X. 602. D: τὸ ... μετρῆσαν ἢ καὶ στῆσαν. — Med. *constituo*; praes. perf. *sto*, *consisto*; *constitutus sum*; etiam (ut Lat. *sto*) *sum*. Phaedr. 242. A: ὡς σχεδὸν ἤδη μεσημβρία ἵσταται σταθερά; Ion. 535. C: ὀρθαὶ αἱ τρίχες ἵστανται ὑπὸ φόβου. Soph. 252. D: ὅτι κίνησίς τε αὐτὴ παντάπασιν ἵσταιτ᾽ ἂν καὶ στάσις ... κινοῖτο. Parm. 156. C: ὅταν δὲ κινούμενον ... ἵστηται. Theaet. 171. D: ταύτῃ ἂν μάλιστα ἵστασθαι (ut Lat. *stare*) τὸν λόγον. Crat. 417. C: ὅτι ... ἵστασθαι οὐκ ἐᾷ τὰ πράγματα. Legg. VII. 789. E. II. 661. A: ἐγγύθεν ἱστάμενος (Tyrt.). V. 732. C: κατά τε εὐπραγίας ἱσταμένου τοῦ δαίμονος ἑκάστου καὶ κατὰ τύχας. I. 629. E: ἐγγύθεν ἱστάμενοι (Tyrt.). Polit. 273. E: τὸ τῆς ἡλικίας αὖ πάλιν ἵστατο. Pol. VIII. 554. E: οὐ γὰρ ἂν τυφλὸν ἡγεμόνα τοῦ χοροῦ ἐστήσατο. Ep. VIII. 355. E: βασιλέα στήσασθε. Pol. V. 452. E: πρὸς ἄλλον τινὰ σκοπὸν στησάμενος (*se convertens*, h. e. *tendens*) ἢ τὸν τοῦ ἀγαθοῦ. VI. 484. D: τούτους ... φύλακας στησόμεθα. 503. A: στατέον ἄρχοντα.

ἱστίον, τό, *velum*. Parm. 131. B: ἱστίῳ καταπετάσας πολλοὺς ἀνθρώπους. Legg. III. 691. C: πλοίοις ... ἱστία. De lucri cup. 226. B: ἱστία καὶ πηδάλια.

ἱστορία, ἡ, *scientia*, *ratio* (vern. *Wissenschaft*. V. annot. in Phaedr. p. 368.). Crat. 437. B: ἡ ἱστορία αὐτό που σημαίνει ὅτι ἵστησι τὸν ῥοῦν. Phaedr. 244. C: ἅτ᾽ ἐκ διανοίας ποριζομένων ἀνθρωπίνῃ οἰήσει νοῦν τε καὶ ἱστορίαν cet. Phaed. 96. A: τῆς σοφίας, ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν.

ἱστορικός, ή, όν, *cum scientia coniunctus*. Soph. 267. E: τὴν δὲ μετ᾽ ἐπιστήμης ἱστορικήν τινα μίμησιν.

ἱστός, ὁ, tela. Phaed. 84. A: Πηνελόπης τινὰ ἐναντίως ἱστὸν μεταχειριζομένην. Lys. 208. D: περὶ τὸν ἱστόν, ὅταν ὑφαίνῃ.

ἱστουργία, ἡ, textrina (ars). Conv. 197. B: ἱστουργίας.

ἵστωρ, ὁ ἡ, sciens, peritus. Crat. 407. C: ἢ τὸν γενναῖον τὸν φύεος ἵστορα ἐρωτᾷς; 406. B: ἴσως δὲ ἀρετῆς ἵστορα τὴν θεὸν ἐκάλεσεν ὁ καλέσας.

ἰσχάς, ἡ, carica. Ep. XIII. 361. B: ἰσχάδων δὲ ὕστερον ἤλθομεν τῆς ἀποθέσεως.

ἰσχίον, τό, coxa. Tim. 75. A: τὸ περὶ τὴν τῶν ἰσχίων φύσιν. Phaedr. 254. C: ὥστ' ἐπὶ τὰ ἰσχία ἄμφω καθίσαι τὼ ἵππω. E: τὰ σκέλη τε καὶ τὰ ἰσχία πρὸς τὴν γῆν ἐρείσας.

ἰσχναίνω, emacio, attenuo. De iusto 375. A: καίειν καὶ ἰσχναίνειν. Gorg. 521. E: κάων καὶ ἰσχναίνων. Polit. 293. B: καθαίροντες εἴτε ἄλλως ἰσχναίνοντες.

ἰσχνός, ή, όν, macer. Pol. VIII. 556. D: ἰσχνὸς ἀνὴρ πένης. Legg. II. 665. E: ἰσχνοί τε καὶ ἄσιτοι. Pol. IV. 422. D: κυσὶ ... ἰσχνοῖς.

ἰσχομένως, ita ut retineare vel *cohibeare.* Crat. 415. C: τὸ ἰσχομένως τε καὶ ἐμποδιζομένως πορεύεσθαι.

ἰσχυρίζομαι, valeo, polleo. Gorg. 489. C: τῷ σώματι ἰσχυρίσασθαι. **affirmo, contendo.* Gorg. 495. B: σὺ δὲ τῷ ὄντι ... ταῦτα ἰσχυρίζει; Soph. 249. C: ὃς ἂν ... ἰσχυρίζηται περί τινος ὁπηοῦν. Theaet. 172. B: ἐν τοῖς δικαίοις ... ἐθέλουσιν ἰσχυρίζεσθαι ὡς οὐκ ἔστι φύσει αὐτῶν οὐδὲν οὐσίαν ἑαυτοῦ ἔχον.

ἰσχυρικός, ή, όν, validus. Theaet. 169. B: ἰσχυρικώτερος (sic codd. Vulgo ἰσχυρότερος) μέντοι ἐγὼ ἐκείνων.

ἰσχυρός, ά, όν, validus, robustus; ingens, acer, vehemens; etiam *stabilis, firmus.* Conv. 200. B: ἆρ' οὖν βούλοιτ' ἄν τις ... ἰσχυρὸς ὢν ἰσχυρός (εἶναι); Pol. II. 376. C: ταχὺς καὶ ἰσχυρός. IX. 591. C. Legg. II. 660. E. Euthyd. 281. C: πότερον δὲ ἀσθενής, ἢ ἰσχυρός; Conv. 185. E: καὶ εἰ πάνυ ἰσχυρά ἐστι. Pol. VIII. 553. D: μεταβολὴ οὕτω ταχεῖά τε καὶ ἰσχυρά. Charm. 153. B: ἤγγελται γε δεῦρο ... ἥ τε μάχη πάνυ ἰσχυρὰ γεγονέναι cet. Men. 72. E: ἐάνπερ ἰσχυρὰ γυνὴ ᾖ. Prot. 352. B: οὐκ ἰσχυρὸν οὐδ' ἡγεμονικὸν οὐδ' ἀρχικὸν εἶναι. Phaed. 95. C: ὅτι ἰσχυρόν τί ἐστιν ἡ ψυχὴ cet. Polit. 302. A: ὡς ἰσχυρόν τι πόλις ἐστὶ φύσει. Pol. IV. 442. A. Soph. 241. B: οὕτως ἰσχυροῦ λόγου. Pol. VI. 493. A: θρέμματος μεγάλου καὶ ἰσχυροῦ. III. 388. E: ἰσχυρῷ γέλωτι. Lys. 215. D: τὸν ἀσθενῆ τῷ ἰσχυρῷ (φίλον εἶναι). Phaedr. 273. B: ἰσχυρὸν καὶ δειλόν. Crat. 415. C: δεσμὸν ... ἰσχυρόν. Phaedr. 233. C: οὐδὲ διὰ σμικρὰ ἰσχυρὰν ἔχθραν ἀναιρούμενος. Ib. ἰσχυρὰν φιλίαν. Tim. 87. D: ψυχὴν ἰσχυρὰν καὶ πάντῃ μεγάλην. Legg. X. 904. D.

Phaed. 88. A: *οὕτω … αὐτὸ φύσει ἰσχυρὸν εἶναι ὥστε* cet. Pol. I. 348. E. X. 606. B: *θρέψαντα … ἰσχυρὸν τὸ ἐλεεινόν.* VIII. 560. B: *ἄλλαι (ἐπιθυμίαι) πολλαί τε καὶ ἰσχυραὶ ἐγένοντο.* Legg. X. 907. C. Charm. 160. C: *ἢ αἱ ταχεῖαί τε καὶ ἰσχυραί (πράξεις).* Phil. 49. C: *ἄγνοια … ἡ … τῶν ἰσχυρῶν ἐχθρά.* Legg. IX. 853. D: *νόμοις … καίπερ οὕτως ἰσχυροῖς οὖσιν.* Pol. VII. 535. B: *ἐν ἰσχυροῖς μαθήμασιν.* Gorg. 452. B: *καλούς τε καὶ ἰσχυροὺς ποιεῖν τοὺς ἀνθρώπους τὰ σώματα.* Legg. III. 695. A. Conv. 181. A: *φιλίας ἰσχυράς.* Tim. 33. A: *πάνθ᾿ ὅσα δυνάμεις ἰσχυρὰς ἔχει.* Hipp. min. 374. A: *καὶ τὰ ἰσχυρὰ καὶ τὰ ἀσθενῆ (ἐργάζεσθαι).* Phaedr. 236. C: *ἰσχυρότερος δ᾿ ἐγὼ καὶ νεώτερος.* Pol. V. 456. A: *ἡ δὲ ἰσχυροτέρα ἐστί.* Gorg. 488. C: *ὡς τὸ … ἰσχυρότερον καὶ βέλτιον ταὐτὸν ὄν.* Phaed. 87. A. Gorg. 488. C: *τοῦ ἰσχυροτέρου.* Phaed. 71. A. 99. C: *Ἄτλαντα ἰσχυρότερον.* Gorg. 488. C: *ὅτι κρείττους εἰσὶ καὶ ἰσχυρότεραι.* Pol. V. 451. E: *τοῖς δὲ (χρώμεθα) ὡς ἰσχυροτέροις.* Gorg. 488. C: *πότερον τοὺς ἰσχυροτέρους κρείττους καλεῖς — ;* Pol. VIII. 569. B. Legg. IX. 870. A: *ἰσχυρότατος ἵμερος.* Pol. VI. 489. D: *πολὺ … μεγίστη καὶ ἰσχυροτάτη διαβολή.* II. 380. E: *τὸ ὑγιέστατον καὶ ἰσχυρότατον.* Crat. 403. C: *τῷ ἰσχυροτάτῳ δεσμῷ.* Pol. IX. 580. E: *ὃ μέγιστον καὶ ἰσχυρότατον εἶχεν ἐν αὑτῷ.* Legg. VII. 814. B: *μαχομένας πρὸς ὁτιοῦν τῶν ἰσχυροτάτων θηρίων.* Conv. 207. B: *διαμάχεσθαι … τοῖς ἰσχυροτάτοις.* Pol. IV. 432. A: *τούς τε ἀσθενεστάτους ταὐτὸν καὶ τοὺς ἰσχυροτάτους.*

ἰσχυρῶς, *valide; firme.* Prot. 332. B: *ἰσχυρῶς πράττεται.* Theaet. 154. A: *ἔχεις τοῦτο ἰσχυρῶς — ;*

ἰσχύς, ἡ, *robur, vis; potestas.* Pol. VI. 491. C: *κάλλος καὶ πλοῦτος καὶ ἰσχὺς σώματος.* Legg. I. 631. C: *τὸ δὲ τρίτον ἰσχὺς εἴς τε δρόμον* cet. Menex. 246. E: *σώματος κάλλος καὶ ἰσχύς.* Men. 72. E. Pol. II. 371. E: *πωλοῦντες τὴν τῆς ἰσχύος χρείαν.* Legg. VIII. 833. A: *σύστασις ἰσχύος καὶ ῥώμης δεομένη.* IX. 863. C. Menex. 349. B. Prot. 332. B: *εἴ τι ἰσχύϊ πράττεται.* Gorg. 457. A. Pol. IV. 432. A. Prot. 320. E: *τοῖς μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτε.* 351. A: *ἰσχὺν δὲ (γίγνεσθαι) ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων.* Gorg. 496. B: *οὐκοῦν καὶ ἰσχὺν καὶ ἀσθένειαν ὡσαύτως;* Phaed. 99. C: *οὔτε τινὰ οἴονται δαιμονίαν ἰσχὺν ἔχειν.* Phil. 26. B: *κάλλος καὶ ἰσχύν.* Conv. 190. B: *ἦν οὖν τὴν ἰσχὺν δεινὰ καὶ τὴν ῥώμην.* Pol. II. 371. E: *τὴν τοῦ σώματος ἰσχύν.* IX. 591. B: *σῶμα ἰσχύν τε καὶ κάλλος μετὰ ὑγιείας λαμβάνον.* Legg. II. 661. D: *ἰσχὺν διαφέρουσαν.* Apol. 29. D: *πόλεως τῆς … εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν.* Pol. X. 618. D: *ἰσχύες καὶ ἀσθένειαι.* Legg. V. 744. B: *μηδὲ κατὰ σωμάτων ἰσχῦς καὶ εὐμορφίας* (v. *ἰσχὺν … εὐμορφίαν*).

ἰσχύω, *valeo, vim habeo.* Crit. 50. B: *ἐν ᾗ ἂν (πόλει)*

αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν. Polit. 294. A: *τὸ δ' ἄριστον οὐ τοὺς νόμους ἐστὶν ἰσχύειν, ἀλλὰ ἄνδρα τὸν μετὰ φρονήσεως βασιλικόν.*

ἴσχω, vid. *ἔχω.*

ἴσως, *aequaliter*, *eodem modo.* Legg. VII. 805. A: *ἴσως ἀσκεῖται.* Epin. 991. A: *ἴσως ... τοῦ ἐλάττονος πλέον ἐλαττόν τε τοῦ μείζονος.* De lucri cup. 227. B: *ἀλλὰ πάντα τἀγαθὰ ἴσως φιλεῖς.* Legg. V. 744. C: *τὰς τιμάς τε καὶ ἀρχὰς ὡς ἰσαίτατα ... ἀπολαμβάνοντες.* **fortasse.* Prot. 312. D: *ἴσως ἂν ... ἀληθῆ λέγοιμεν.* Phaedr. 234. B: *ἴσως μὲν οὖν ἂν ἔροιό με.* Gorg. 504. B: *ὑγίειαν καὶ ἰσχὺν ἴσως λέγεις.* Theaet. 180. B. Soph. 253. C: *σχεδόν γε ἴσως.* Pol. I. 328. E. Tim. 38. E: *ἴσως τάχ' ἄν.* (Id. Legg. III. 676. C. 686. D. Apol. 31. A. al.). Legg. XII. 965. C: *οὐκ ἴσως, ἀλλ' ὄντως.* al. innum. Dubitans vero illud *ἴσως* Attici urbani etiam in affirmatione frequentant, ut sit modo lenius vern. *wohl*, modo fortius *allerdings*, *in der That*, *unstreitig* al. Prot. 335. C: *ἐπεὶ καὶ ταῦτ' ἂν ἴσως οὐκ ἀηδῶς σου ἤκουον.* Phaedr. 233. E: *ἀλλ' ἴσως προσήκει οὐ τοῖς σφόδρα δεομένοις χαρίζεσθαι* cet. Gorg. 458. B: *ἴσως μέντοι χρῆν ἐννοεῖν καὶ τὸ τῶν παρόντων.* 473. B: *ἀληθῆ γε οἰόμενος ἴσως.* 513. D. (ubi scrib. videtur *ἀλλ' ἴσως ... πεισθήσει*). Phaed. 61. C: *οὐ μέντοι γ' ἴσως βιάσεται αὑτόν.* 67. A: *τοῦτο δ' ἐστὶν ἴσως τἀληθές.* Crat. 394. B: *οὕτω δὲ ἴσως καὶ ὁ ἐπιστάμενος περὶ ὀνομάτων τὴν δύναμιν αὐτῶν σκοπεῖ.* Pol. I. 339. B: *σμικρά γε ἴσως ... προσθήκη.* Legg. I. 640. E: *τάχ' ἂν ὀρθῶς ἴσως μέμφοιτο.* III. 676. C. Euth. 2. D. 8. D. Lach. 184. E. al.

ἰταμότης, *ἡ*, *audacia*, *temeritas.* Polit. 311. A: *δριμύτητος δὲ καί τινος ἰταμότητος ὀξείας καὶ πρακτικῆς δεῖται.*

ἰταμῶς, *audacter*, *temere.* Legg. VI. 773. B: *ἰταμώτερον ἅμα καὶ θᾶττον τοῦ δέοντος πρὸς πάσας τὰς πράξεις φερόμενον.*

ἴτης, *ὁ*, *qui intrepide ad aliquid aggreditur*, *audax.* Conv. 203. D: *ἀνδρεῖος ὢν καὶ ἴτης καὶ σύντονος.* Prot. 349. E: *καὶ ἴτας γε ... ἐφ' ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι.* 359. C.

ἰχθυόεις, *piscosus.* Hipp. min. 370. B. (Hom.).

ἰχθύς, *ὁ*, *piscis.* Phaed. 109. E: *οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες.* Soph. 220. E: *τῶν ἰχθύων.* Tim. 92: *ἰχθύων ἔθνος.* Pol. III. 404. B: *οὔτε ἰχθύσιν αὐτοὺς ἑστιᾷ.* Ion. 538. D. (Hom.). Pol. II. 363. C: *ἰχθῦς* (Hom.).

ἰχνεύω, *investigo*, *indago*; *studeo.* Parm. 128. C: *εὖ μεταθεὶς τε καὶ ἰχνεύεις τὰ λεχθέντα.* Pol. III. 401. C: *τοὺς εὐφυῶς δυναμένους ἰχνεύειν τὴν τοῦ καλοῦ τε καὶ εὐσχήμονος φύσιν.* Phaedr. 252. E: *ἰχνεύοντες ... παρ' ἑαυτῶν ἀνευρίσκειν τὴν τοῦ σφετέρου θεοῦ φύσιν.* Polit. 263. B: *καθάπερ ἰχνεύοντες* (al. *ἰχνεύομεν*) *μέτιμεν.* Legg. II.

654. E: *καθάπερ κυσὶν ἰχνευούσαις.* V. 728. D: *ἰχνεῦσαι δὲ καὶ ἑλεῖν τὸ πάντων ἄριστον.*

ἴχνιον, τό, vestigium. Phaedr. 266. B. (Hom.).

ἴχνος, τό, vestigium. Polit. 290. D: *ἤδη ... μοι δοκοῦμεν οἷόν γέ τινος ἴχνους ἐφ' ὃ πορευόμεθα προσάπτεσθαι.* Crat. 393. B: *οἰόμενός τινος ὥσπερ ἴχνους ἐφάπτεσθαι τῆς Ὁμήρου δόξης.* Phaedr. 276. D: *παντὶ τῷ ταὐτὸν ἴχνος μετιόντι.* Theaet. 187. E: *ὥσπερ ἴχνος μετελθεῖν.* 193. C. Soph. 226. B. Pol. IV. 432. D: *κινδυνεύομέν τι ἔχειν ἴχνος.* V. 462. A. Legg. XII. 951. B. Ep. VII. 330. E: *τοῖς ... μηδαμῇ ἐθέλουσιν αὐτῆς εἰς ἴχνος ἰέναι.* Pol. II. 365. D: *ταύτῃ ἰτέον, ὡς τὰ ἴχνη τῶν λόγων φέρει.* Alc. I. 123. A. Gorg. 524. C: *ἴχνη εἶχε τῶν πληγῶν οὐλὰς ἐν τῷ σώματι.* Phaed. 115. B: *ὥσπερ κατ' ἴχνη.* Polit. 301. E: *μεταθέοντας τὰ τῆς ἀληθεστάτης πολιτείας ἴχνη.* Pol. III. 410. B: *κατὰ ταὐτὰ ἴχνη ταῦτα ... διώκων.* VIII. 553. A. Tim. 53. B: *ἴχνη ... ἔχοντα αὑτῶν ἄττα.*

ἰχώρ, ὁ, serum. Tim. 83. C: *ἰχὼρ ... ὁ μὲν αἵματος ὀρὸς* (v. *ὀῤῥὸς*) *πρᾶος* cet. 82. E: *χολὰς καὶ ἰχῶρας καὶ φλέγματα ἴσχει παντοῖα.*

ἰῶμαι, medeor, sano; trop. *libero* (a malo aliquo), *consolor;* etiam *sarcio* (ut damnum). Charm. 164. B: *ἐκείνῳ ὃν ἰῷτο* (codd. plures *ἰῶται;* an *ἰᾶται?*). Ib. *ὅταν ... ὠφελίμως ἰᾶται.* Polit. 293. B: *ἐάν θ' ἑκόντας ἐάν τε ἄκοντας ἡμᾶς ἰῶνται.* Theaet. 171. E: *ἰᾶσθαι αὐτό.* Conv. 190. E: *καὶ τἄλλα ἰᾶσθαι ἐκέλευεν.* Pol. X. 604. D. Legg. IX. 862. C: *τούτων ὁπόσα ... ἰατά, ὡς οὐσῶν ἐν ψυχῇ νόσων, ἰᾶσθαι.* Charm. 156. B: *τοὺς ὀφθαλμοὺς ἰᾶσθαι.* 161. E: *τὸ ἰᾶσθαι ... καὶ τὸ οἰκοδομεῖν* cet. Prot. 341. C: *ἰώμενος μεῖζον τὸ νόσημα ποιῶ.* Pol. I. 346. B. Legg. IV. 720. E. Pol. III. 406. A: *τῷ ἰωμένῳ.* Polit. 299. A: *περὶ τῶν τοὺς κάμνοντας ἰωμένων.* 298. E: *τοὺς κάμνοντας ἰωμένους.* Menex. 247. D: *ἰωμένους καὶ πραΰνοντας.* Phaed. 89. A: *ὡς εὖ ἡμᾶς ἰάσατο.* Hipp. min. 373. A: *ὅτι οὐκ ἄν με ἰάσαιο.* Legg. XI. 933. E: *μέχριπερ ἂν ἰάσηται τὸ βλαβέν.* Conv. 191. D: *ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην.* Pol. III. 406. B. 408. A. C. Hipp. min. 372. E: *μὴ φθονήσῃς ἰάσασθαι τὴν ψυχήν μου.* Conv. 193. D: *ἰασάμενος.* Gorg. 447. B: *ἐγὼ γὰρ καὶ ἰάσομαι.* Pass. Legg. VI. 758. D: *ὅπως ἂν ... ὅτι τάχιστα ... ἰαθῇ τὸ γενόμενον.* Conv. 189. D: *ὧν ἰαθέντων μεγίστη εὐδαιμονία ἂν τῷ ἀνθρωπείῳ γένει εἴη.*

K.

κάππα, τό. Crat. 412. E: *εὐστομίας ἕνεκα τὴν τοῦ κάππα (v. κ) δύναμιν προςλαβόν.*

κάδος, ὁ, cadus. Pol. X. 616. D: *καθάπερ οἱ κάδοι οἱ εἰς ἀλλήλους ἁρμόττοντες.*

καθαγίζω, consecro. Critia 119. E: *ὅτ' οὖν ... καθαγίζοιεν πάντα τοῦ ταύρου τὰ μέλη.*

καθαιμάσσω, cruento. Phaedr. 254. E: *τήν τε ... γλῶτταν καὶ τὰς γνάθους καθήμαξε.*

καθαίρεσις, ἡ, eversio, demolitio. Tim. 58. E: *τήκεσθαι ... τὴν τῶν ὄγκων καθαίρεσιν.*

καθαίρω, purgo (etiam de medico), *purum efficio; lustro, expio; lustrando amolior, eiicio.* Soph. 227. C: *ὅσα ἄλλο τι καθαίρει.* Pol. III. 399. E: *καὶ τὰ λοιπὰ καθαίρωμεν.* Polit. 293. D: *ἐὰν ... καθαίρωσιν ἐπ' ἀγαθῷ τὴν πόλιν.* Soph. 227. B: *ὅσαι (δυνάμεις) σῶμα ... εἰλήχασι καθαίρειν.* Crat. 396. E: *ὅστις τὰ τοιαῦτα δεινὸς καθαίρειν.* 405. B: *ὁ καθαίρων θεός.* Tim. 72. C: *καθαίρουσα.* Soph. 227. A: *εἰ τὸ μὲν σμικρά, τὸ δὲ μεγάλα ἡμᾶς ὠφελεῖ καθαῖρον.* 230. C: *οἱ καθαίροντες αὐτούς.* Tim. 22. D: *τὴν γῆν ὕδασι καθαίροντες.* Polit. 303. D: *τοῖς τὸν χρυσὸν καθαίρουσι.* Legg. VIII. 845. E: *καθηράτω τὰς πηγάς.* XI. 916. C: *τάς τε οἰκίας τοῦ πριαμένου καθηράτω.* V. 735. D: *εἰ καὶ τὸν πραότατον τῶν καθαρμῶν καθήρειεν.* Pol. VIII. 567. C: *ἕως ἂν καθήρῃ τὴν πόλιν.* IX. 573. B: *ἕως ἂν καθήρῃ σωφροσύνης.* Legg. V. 735. B: *καθάρῃ* (Voss. *καθαίρῃ*). D: *καθῆραι.* Pol. VIII. 560. D: *τούτων ... κενώσαντες καὶ καθήραντες τὴν ... ψυχήν.* Pass. *purgor, expior,* med. *me purgo, lustro,* cum v. *καθαρμόν, expiationem adhibeo.* Legg. IX. 868. C: *καθάρσεις ... τὰς αὐτὰς τοῖς ἄλλοις καθαιρέσθω.* 868. E: *καθαίρεσθαι ... τοὺς αὐτοὺς καθαρμούς.* 870. C. Tim. 83. E: *ὅσα τε ἄλλα τοιαῦτα σῶμα τὸ καθ' ἡμέραν χεῖται καθαιρόμενον.* 86. A. Phaed. 113. D: *καθαιρόμενοι τῶν τε ἀδικημάτων διδόντες δίκας.* 69. C: *ὁ ... κεκαθαρμένος τε καὶ τετελεσμένος.* 67. C: *ὃς ἡγεῖταί οἱ παρεσκευάσθαι τὴν διάνοιαν ὥσπερ κεκαθαρμένην.* Legg. IX. 865. D: *τοὺς ... καθαρμοὺς ... καθαρθήτω* cet. Tim. 72. D: *ὅταν καθαρθῇ τὸ σῶμα.* Pol. III. 406. D: *κάτω καθαρθείς.* Legg. IX. 865. B: *καθαρθεὶς κατὰ τὸν ἐκ Δελφῶν κομισθέντα περὶ τούτων νόμον.* VIII. 831. A: *τὸν ἀποκτείναντα κατὰ νόμον καθαρθέντα.* IX. 868. A: *δοῦλον ... ὁ κτείνας ἑαυτοῦ*

... *καθηράσθω.* 881. E: *μήτ᾽ εἰς πόλιν ... (ἔλθῃ) πρότερον ἢ καθήρηται.* Phaedr. 243. A: *ἐμοὶ μὲν οὖν ... καθήρασθαι ἀνάγκη.* Legg. IX. 877. E. 865. D: *καθηράμενος.* Phaed. 114. C: *οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι.* Crat. 396. E: *αὔριον ... ἀποδιοπομπησόμεθά τε αὐτὴν καὶ καθαρούμεθα.*

καθαιρῶ, deiicio, prosterno, destruo; etiam *deduco.* Prot. 344. C: *τίνα ... ἀμήχανος συμφορὰ καθαιρεῖ ἐν πλοίου ἀρχῇ;* Gorg. 513. A: *τὰς τὴν σελήνην καθαιρούσας.* Prot. 343. C: *εἰ καθέλοι τοῦτο τὸ ῥῆμα ὥσπερ εὐδοκιμοῦντα ἀθλητήν.* 344. C: *καθέλῃ* (Simon.). Menex. 244. C: *τείχη καθελόντες.* Prot. 344. C: *ὁ ... ἰδιώτης ἀεὶ καθήρηται.*

μάχη, ἡ, pugna; in univ. *contentio.* Soph. 246. C: *ἄπλετος ... μάχη τις ... ἀεὶ ξυνέστηκε.* Conv. 220. D: *ὅτε ... ἡ μάχη ἦν.* Pol. VIII. 560. A: *μάχη ἐν αὐτῷ πρὸς αὐτὸν τότε γίγνεται.* Legg. X. 906. A: *μάχη ... ἀθάνατός ἐστιν ἡ τοιαύτη.* XI. 919. B: *ἡ τούτων καὶ περὶ ταῦτα ἐστὶ πρὸς δύο μάχη.* Euthyd. 272. A: *μάχη ἀργός.* Ep. VIII. 352. C: *ἔσθ' ὑμῖν ... πᾶσα μάχη περὶ αὐτῶν τούτων.* Gorg. init. *πολέμου καὶ μάχης φασὶ χρῆναι ... οὕτω μεταλαγχάνειν.* Phil. 15. D: *ταύτης ... πολλῆς οὔσης καὶ παντοίας περὶ τὰ ἀμφισβητούμενα μάχης.* Legg. I. 638. A: *ἧτταν λέγοντες μάχης.* IX. 869. C: *ἐν στάσεσι μάχης γενομένης.* Pol. VIII. 556. B: *παραταχθεὶς ἐν μάχῃ πλουσίῳ* cet. Tim. 62. B: *τῇ ... μάχῃ καὶ τῷ σεισμῷ τούτῳ τρόμος ... ἐτέθη.* Legg. VII. 814. D: *τῇ πολεμικῇ μάχῃ.* Pol. II. 368. A: *εὐδοκιμήσαντας περὶ τὴν Μεγαροῖ μάχην.* Legg. VII. 813. E: *πᾶσαν τὴν ἐν ὅπλοις ὄρχησιν καὶ μάχην μεμελετηκυίας.* VIII. 833. D: *τὴν ἐν τοῖς ὅπλοις μάχην.* Hipp. mai. 294. D: *πάντων μάλιστα ἔριν καὶ μάχην περὶ αὐτῶν εἶναι* cet. Legg. VIII. 829. B: *ὅπως ἂν γίγνωνται μάχαι τινὲς ἑορταστικαί.* IV. 707. C: *περὶ τῶν τότε ... μαχῶν.* Conv. 220. D: *ἐν ταῖς μάχαις.* Pol. III. 386. B. Tim. 19. E: *ἐν πολέμῳ καὶ μάχαις.* Apol. 39. A. Pol. I. 351. D: *μίση καὶ μάχας ἐν ἀλλήλοις παρέχει.* Tim. 88. A: *μάχας ἐν λόγοις ποιουμένη.* Legg. VII. 789. B. VIII. 833. E. Alc. I. 112. C. Menex. 240. E.

μαχητικός, ή, όν, pugnax; fem. et neutr. *pugnandi* vel *contendendi peritia.* Soph. 225. A: *τῆς ... μαχητικῆς.* 226. A. 225. A: *τὸ δὲ μαχητικόν (τιθέντας).* Pol. V. 467. E: *ἐφ' ἵππων ... μὴ θυμοειδῶν μηδὲ μαχητικῶν* (opp. *εὐηνιωτάτων*).

μαχητικῶς, pugnaciter vel *repugnanter.* Theaet. 168. B: *οὐ δυσμενῶς οὐδὲ μαχητικῶς (σκέψει* cet.).

μάχιμος, η, ον, militaris; bellicosus. Tim. 25. D: *τὸ ... μάχιμον* (Lat. *copiae*) *πᾶν ἀθρόον ἔδυ κατὰ γῆς.* Critia 110. C: *τὸ δὲ μάχιμον (ἔθνος) ... ᾤκει χωρίς.* 112. B: *τὸ μάχιμον ... γένος.* Legg. VIII. 830. C: *τὸ τῆς πόλεως ἡμῖν μάχιμον.* Tim. 24. A: *τὸ μάχιμον γένος ᾔσθησαί που τῇδε ἀπὸ πάντων τῶν γενῶν κεχωρισμένον.* Pol. III. 386. C: *τοῖς μέλλουσι μαχίμοις ἔσεσθαι.* Menex. 240. A: *μάχιμα γένη.*

μάχομαι, pugno, contendo; etiam *repugno, resisto.* Theaet. 205. A: *ἀνδρικῶς γε ... μάχει.* 155. B: *ταῦτα ... ὁμολογήματα τρία μάχεται αὐτὸ αὑτοῖς ἐν τῇ ἡμετέρᾳ ψυχῇ.* Pol. VIII. 556. E: *αὐτὴ αὑτῇ μάχεται (ἡ πόλις).* X. 603. D. Tim. 62. B. Theag. 123. A: *τοιαῦτα ... καὶ ἕτερα ... πρὸς ἐμὲ μάχεται.* Prot. 345. D: *ἀνάγκῃ δ' οὐδὲ θεοὶ μάχονται* (Simon.). Theaet. 170. D: *ἢ μυρίοι ἑκάστοτέ σοι μάχονται —;* Soph. 260. D: *ὥστε ... οὐκ ἂν μάχοιτο ἔτι.* Pol. IV. 439. E, V. 471. D: *ὅτι καὶ τοῖς πολεμίοις ἄριστ' ἂν μάχοιντο.* Hipp. mai. 299. A: *πάντες ἂν ἡμῖν μάχοιντο ὡς ἥδιστον ὄν.* Tim. 57. A: *ἕως δ' ἂν ... μάχηται.* B. Lach. 191. A: *ὃς ἂν ... μάχηται τοῖς πολεμίοις.* Crat. 430. D: *ἵνα ... μὴ μαχώμεθα ἐν τοῖς λόγοις ἐγώ τε καὶ σύ.* Pol. III. 407. A: *μηδὲν ... περὶ τούτου αὐτῷ μαχώμεθα.* Prot. 342. B: *τῷ μάχεσθαι καὶ ἀνδρείᾳ περιεῖναι.* Gorg. 456. D: *ἐν ὅπλοις μάχεσθαι.* Pol. I. 342. D: *ἐπεχείρει δὲ περὶ αὐτὰ μάχεσθαι.* IV. 422. B: *ἐὰν δέῃ μάχεσθαι.* Legg. XI. 919. B: *ὡς πρὸς δύο μάχεσθαι καὶ ἐναντία χαλεπόν.* Lach. 191. D: *πρὸς ἐπιθυμίας ἢ ἡδονὰς δεινοὶ μάχεσθαι.* Menex. 239. B: *Ἕλλησιν ὑπὲρ Ἑλλήνων μάχεσθαι.* Pol. IX. 579. D: *ἀγωνιζόμενος πρὸς ἄλλα σώματα καὶ μαχόμενος.* Legg. I. 642. C: *μαχόμενος πρὸς αὐτὰ ὑπὲρ ὑμῶν* cet. VII. 818. B. Phil. 22. E: *τῶν ... νικητηρίων πέρι μαχομένη κεῖται.* Pol. V. 469. D: *μὴ πρὸς τὸν μαχόμενον ἰέναι.* VI. 500. C: *μαχόμενον αὐτοῖς.* Conv. 178. E: *μαχόμενοι ... μετ' ἀλλήλων.* Pol. IX. 574. B: *ἀντεχομένων ... καὶ μαχομένων ... γέροντός τε καὶ γραός.* Tim. 76. A. Theaet. 180. B: *τοὺς ἄνδρας μαχομένους.* Pol. V. 470. C. IX. 589. A: *μαχόμενα ἐσθίειν ἄλληλα.* Menex. 241. B: *τῶν ... Μαραθῶνι μαχεσαμένων.* Pol. II. 375. A: *εἴπερ εὖ μαχεῖται.* V. 467. A. Lach. 193. A: *πρὸς ἐλάττους ... μαχεῖται.* Ep. VII. 345. B. Pol. I. 335. E: *μαχούμεθα ἄρα ... κοινῇ ἐγώ τε καὶ σύ, ἐάν τις ... φῇ* cet. IV. 422. B: *ἆρ' οὐ πλουσίοις ἀνδράσι μαχοῦνται —;* VII. 521. B. X. 604. A: *τῇ λύπῃ μαχεῖσθαί τε καὶ ἀντιτενεῖν.* Legg. VII. 818. E. Apol. 32. A: *τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου.* Verb. Soph. 249. C: *πρός γε τοῦτον παντὶ λόγῳ μαχετέον* (sic codd. plurimi; vulg. *μαχητέον*) *ὃς ἂν ... ἰσχυρίζηται* cet.

μάω, rad., unde Homeric. *μεμαῶσιν* (Ion. 539. B.), *μεμαῶτας* (Hipp. min. 370. B.), et med. *μῶσθαι, meditari* (vern. *nachsinnen*), *quaerere.* Crat. 406. A: *τὰς ... Μούσας τε*

καὶ ὅλως τὴν μουσικὴν ἀπὸ τοῦ μῶσθαι... τὸ ὄνομα τοῦτο ἐπωνόμασιν. 408. A: ἐμήσατο φησί (int. Homerus), τοῦτο δὲ μηχανήσασθαί ἐστιν. B: ὃς τὸ εἴρειν ἐμήσατο. A: τὸν λόγον μησάμενον.

μεγαλαυχία, ἡ, iactantia. Legg. IV. 716. A: ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας. Lys. 206. A: φρονήματος ἐμπίπλανται καὶ μεγαλαυχίας. Theaet. 174. D: ἔν τε τοῖς ἐπαίνοις καὶ ταῖς τῶν ἄλλων μεγαλαυχίαις.

μεγάλαυχος, ὁ ἡ, iactans. Lys. 206. A: ὅσῳ ἂν μεγαλαυχότεροι ὦσι.

μεγαλαυχοῦμαι, me iacto. Alc. I. 104. C: μεγαλαυχούμενος. Hipp. min. 368. B: ὡς ἐγώ ποτέ σου ἤκουον μεγαλαυχουμένου. Pol. III. 395. D: μεγαλαυχουμένην.

μεγαλείως, magnifice. Theaet. 168. C: μεγαλειότερον ἂν τοῖς αὑτοῦ ἐβοήθησεν.

μεγαλήτωρ, ὁ ἡ, magnanimus. Alc. I. 132. A. (Hom.).

μεγαλόθυμος, ὁ ἡ, animosus, vehemens. Pol. II. 375. C: ἅμα πρᾶον καὶ μεγαλόθυμον ἦθος.

μεγαλομερής, ὁ ἡ, magnis constans partibus. Tim. 62. A: τὰ ... μεγαλομερέστερα εἰςιόντα.

μεγαλόνοια, ἡ, magnanimitas. Legg. XI. 935. B: (ὃς οὐ) ... μεγαλονοίας ἀπώλεσε μέρη πολλά.

μεγαλοπρέπεια, ἡ, magnificentia. Pol. VI. 486. A: ᾧ ... ὑπάρχει διανοίας μεγαλοπρέπεια. 490. C. 494. B. Men. 74. A. Def. 412. E. Pol. II. 402. C: ἐλευθεριότητος καὶ μεγαλοπρεπείας. Ep. IV. 320. B: μεγαλοπρεπείᾳ. Pol. VII. 536. A: ἀνδρείαν καὶ μεγαλοπρέπειαν. VIII. 560. E: ἀσωτίαν δὲ μεγαλοπρέπειαν (καλοῦντες). Men. 88. A.

μεγαλοπρεπής, ὁ ἡ, magnificus, splendidus; etiam *magnanimus, generosus, sublimis.* Pol. VI. 487. A: εἰ μὴ φύσει εἴη ... μεγαλοπρεπής. Legg. IV. 709. E: μεγαλοπρεπὴς φύσει. 710. C. Menex. 247. B: καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής. 234. C: ταφῆς καλῆς τε καὶ μεγαλοπρεποῦς τυγχάνει. Legg. VII. 795. E: τό τε μεγαλοπρεπὲς φυλάττοντας ἅμα καὶ ἐλεύθερον. 802. E. VIII. 837. C: (τὸ) μεγαλοπρεπὲς καὶ τὸ φρόνιμον αἰδούμενος. Epin. 975. C: τό γε μεγαλοπρεπὲς σὺν τῷ σοφῷ οὐκ ἀποδίδωσιν. Pol. VI. 503. C: νεανικοί τε καὶ μεγαλοπρεπεῖς τὰς διανοίας. Conv. 210. D: θεωρῶν πολλοὺς καὶ καλοὺς λόγους καὶ μεγαλοπρεπεῖς. Pol. VI. 495. D: τὸ ἀξίωμα μεγαλοπρεπέστερον λείπεται (φιλοσοφίας). Euthyd. 303. C: ἐν δὲ τοῖς καὶ τοῦτο μεγαλοπρεπέστερον ὅτι cet. Prot. 338. A: ἵνα μεγαλοπρεπέστεροι ... ἡμῖν φαίνωνται (οἱ λόγοι). Crat. 418. C: ὡς δὴ μεγαλοπρεπέστερα ὄντα. Epin. 982. E: χορείαν πάντων χορῶν καλλίστην καὶ μεγαλοπρεπεστάτην χορεύοντα (τὰ ἄστρα). Polit. 211. C: πάντων μεγαλοπρεπέστατον ὑφασμάτων ... ἀποτελέσασα.

μεγαλοπρεπῶς, magnifice; luculenter; eximie. Polit.

277. B: *ἵνα ... πρὸς τῷ ταχὺ καὶ μεγαλοπρεπῶς δηλώσαιμεν τὸ ... ἁμάρτημα.* 284. D: *βοηθεῖν μεγαλοπρ.* Conv. 199. C: *ἐπειδὴ καὶ τἆλλα καλῶς καὶ μεγαλοπρ. διῆλθες οἷός ἐστι.* Pol. II. 362. C: *θεοῖς θυσίας ... ἱκανῶς καὶ μεγαλοπρ. θύειν.* Hipp. mai. 291. E: *καλῶς καὶ μεγαλοπρ. ταφῆναι.* Men. 94. A: *οὕτω μεγαλοπρ. σοφὸν ἄνδρα.* De virt. 379. D: *ὅταν τινὰ μεγαλοπρ. ἐπαινῶσι.* *Liberaliter* verti potest (Charm. 175. C: *τοῦτο ... παντάπασι μεγαλοπρ. ξυνεχωρήσαμεν*), et *superbe* vel *animose* (vern. *muthig*, *keck*). Theaet. 161. E: *ἵνα μεγαλοπρ. ἥρξατο ἡμῖν λέγειν.* Pol. VIII. 558. B: *ὡς μεγαλοπρ. καταπατήσασ' ἅπαντα ταῦτα οὐδὲν φροντίζει* cet. Men. 70. B: *ἀφόβως τε καὶ μεγαλοπρ. ἀποκρίνεσθαι.* Hipp. min. 336. E: *καί μοι ... γενναίως καὶ μεγαλοπρ. ἀποκρίναι.* Lys. 215. E: *ἔτι ἐπεξῄει τῷ λόγῳ μεγαλοπρεπέστερον* cet.

μεγαλοφρονοῦμαι, *superbio.* Pol. VII. 528. B: *οὐκ ἂν πείθοιντο οἱ περὶ ταῦτα ζητητικοὶ μεγαλοφρονούμενοι.*

μεγαλοφρόνως, *superbe*, *cum iactatione.* Euthyd. 293. A: *ἤρξατό γε ... πάνυ μεγαλοφρ. τοῦ λόγου ὧδε.*

μεγαλοφροσύνη, *ἡ*, *animus magnus* vel *celsus.* Conv. 194. B: *τὴν σὴν ἀνδρείαν καὶ μεγαλοφροσύνην.* Alc. I. 122. C.

μεγαλόφρων, *ὁ ἡ*, *magnanimus.* Pol. VIII. 567. B: *τίς ἀνδρεῖος, τίς μεγαλόφρων* cet. Alc. I. 119. D: *ἄνδρα οἰόμενον μεγαλόφρονα εἶναι.* 103. B: *μεγαλοφρόνων.*

μεγαλοψυχία, *ἡ*, *magnanimitas.* Alc. II. 150. C: *διὰ τὴν μεγαλοψυχίαν.* Def. 412. D.

μεγαλόψυχος, *ὁ ἡ*, *magnanimus.* Alc. II. 140. C: *μεγαλοψύχους (κατονομάζουσι).*

μεγάλως, *magnopere*, *magnifice.* Euthyd. 284. E: *ἦ καὶ τοὺς μεγάλους ... μεγάλως λέγουσι —;* Charm. 171. D: *μεγάλως τι* (Steph. mal. *μεγαλωστὶ*) *ἂν ἡμῖν ... ὠφέλιμον ἦν σώφροσιν εἶναι.* Hipp. mai. 291. E: *ἦ θαυμασίως τε καὶ μεγάλως ... εἴρηκας.*

μεγαλωστί, *late.* Pol. VIII. 566. C: *δῆλον δὴ ὅτι μέγας μεγαλωστὶ οὐ κεῖται* (ex Hom.).

μέγας, *άλη*, *α*, *magnus*, *longus*, *adultus*; *amplus*; *insignis*, *praestans*; *illustris*, *potens*, etiam *gravis* (in re quae permagni momenti est); *arduus*, *difficilis*; *vehemens.* Prot. 344. D: *μέγας χειμὼν ἐπιπεσών.* Phaed. 62. B: *ὁ ... ἐν ἀποῤῥήτοις λεγόμενος περὶ αὐτῶν λόγος ... μέγας τέ τίς μοι φαίνεται* cet. 116. B: *εἷς δὲ (υἱὸς) μέγας.* Pol. X. 608. B: *μέγας γὰρ ... ὁ ἀγών.* 615. C: *Ἀρδιαῖος ὁ μέγας* (*potens*). Legg. V. 730. D: *ὁ μέγας ἀνὴρ ἐν πόλει ... οὗτος.* Ep. II. 310. C: *νῦν δὲ μέγας ἐγώ εἰμι ἐμαυτὸν παρέχων τῷ ἐμῷ λόγῳ ἑπόμενον.* Pol. I. 339. B: *μεγάλη (προσθήκη).* V. 460. A. VI. 496. B: *ἐν σμικρᾷ πόλει ὅταν μεγάλη ψυχὴ φυῇ.* Phaedr. 287. D: *τὸ μὲν σοφὸν ... καλεῖν ἔμοιγε μέγα* (*nimium*) *εἶναι*

δοκεῖ. Phil. 52. D: *τὸ μέγα καὶ τὸ ἱκανόν.* Legg. VII. 795. B: *ταῦτα δ' ... ὀργάνοις τοιούτοις οὐδὲν μέγα* (*nullius est momenti*). Hipp. mai. 287. A: *οὐ μέγα* (*difficile*) *ἐστὶ τὸ ἐρώτημα.* Menex. 235. D: *οὐδὲν μέγα δοκεῖν εὖ λέγειν.* Epin. 977. E: *καίτοι μέγα μὲν καὶ τοῦτο.* Polit. 268. E: *μεγάλου μύθου.* Charm. 169. A: *μεγάλου δή τινος ... ἀνδρὸς δεῖ ὅστις* cet. Prot. 316. B: *οἰκίας μεγάλης τε καὶ εὐδαίμονος.* Euthyd. 275. D: *ἅτε μεγάλου ὄντος τοῦ ἐρωτήματος.* Eryx. 397. C: *οὕτως ᾤετο μεγάλου τινὸς ἐστερῆσθαι.* Apol. 29. E: *ἵππῳ μεγάλῳ ... καὶ γενναίῳ.* Riv. 133. B: *λέγων μεγάλῃ* (v. *μέγα*) *τῇ φωνῇ.* Phaed. 77. E: *ἐν μεγάλῳ τινὶ πνεύματι ἀποθνήσκων.* Crat. 427. C: *τὸ δ' αὖ ἄλφα τῷ μεγάλῳ ἀπέδωκε.* Pol. III. 402. A: (*ὅτε*) *οὔτ' ἐν σμικρῷ οὔτ' ἐν μεγάλῳ ἠτιμάζομεν αὐτά.* VII. 537. E: (*ἐν*) *πολλῷ ... καὶ μεγάλῳ γένει.* Phil. 14. D: *μέγαν καὶ σμικρὸν τιθέμενος.* Legg. V. 732. A: *τόν γε μέγαν ἄνδρα ἐσόμενον.* 747. B: *πρὸς πολιτείαν ... ἓν οὐδὲν οὕτω δύναμιν ἔχει παίδειον μάθημα μεγάλην ὡς ἡ περὶ τοὺς ἀριθμοὺς διατριβή.* Prot. 310. B: *τῇ φωνῇ μέγα λέγων* (*voce magna*, h. e. *clare*). Phaed. 101. C: *μέγα ἂν βοῴης.* Conv. 212. D: *μέγα βοῶντος.* Pol. V. 449. B: *μέγα ἤδη λέγων.* Legg. IX. 854. D: *ᾄδειν μέγα.* Alc. I. 110. B. Euthyd. 276. C. 300. D. Phaedr. 260. D: *τόδε δ' οὖν μέγα λέγω ὡς* cet. Phaed. 95. B: *μὴ μέγα λέγε* (ut Lat. *magna loqui*, h. e. *gloriari*). Soph. 238. A: *μήπω μέγ' εἴπῃς.* Hipp. mai. 295. A. Phil. 21. E: *ἡδονῆς δὲ μετέχων μήτε μέγα μήτε σμικρόν* (*nullo modo.* Id. 32. E. 33. B. Legg. X. 900. D. Apol. 19. C. D: *ἢ σμικρὸν ἢ μέγα.* 21. B. 24. A. 26. B. Charm. 176. B.). Phil. 61. B: *μέγα τι δήπου πρὸς τὴν εὕρεσιν ἂν ἔχοι τοῦ ζητουμένου.* 66. B: *οὐκ ἂν μέγα τι* (*non ita multum* vel *longe*) *τῆς ἀληθείας παρεξέλθοις.* Pol. II. 366. A: *αἱ τελεταὶ ... μέγα δύνανται.* IV. 423. E: *ἐὰν τὸ λεγόμενον ἓν μέγα φυλάττωσι.* Legg. I. 741. B: *τί μέγα τὴν πόλιν ὀνίνησιν.* Apol. 20. E: *μηδὲ ἂν δόξω τι ὑμῖν μέγα* (*admirabile*) *λέγειν.* *Κατὰ μέγα*, *continuo.* Phaedr. 262. A: *κατὰ μέγα* (opp. *κατὰ σμικρὸν μεταβαίνων.* Sic etiam *κατὰ μεγάλα* Tim. 65. A.). Epin. 986. A: *καὶ οὐδὲν μέγα διαπέπραγμαι.* Crat. 427. C: *ὅτι μεγάλα τὰ γράμματα* (*τὸ ᾱ* et *η̄*). Hipp. mai. 281. C: *ὧν ὀνόματα μεγάλα λέγεται ἐπὶ σοφίᾳ.* Phaedr. 274. A: *μεγάλων γὰρ ἕνεκα περιιτέον.* Pol. I. 329. A: *ὡς μεγάλων τινῶν ἀπεστερημένοι.* II. 365. C: *οὐδὲ γὰρ ἄλλο οὐδὲν εὐπετὲς ... τῶν μεγάλων.* VIII. 560. E: *τελουμένου ψυχὴν μεγάλοισι τέλεσι.* Ep. VII. 327. D: *μεγάλας ἐλπίδας εἶχεν* cet. Gorg. 497. C: *ὅτι τὰ μεγάλα μεμύησαι πρὶν τὰ σμικρά.* Soph. 243. A: *πλημμελῆς οὕτω μεγάλα κλεινοῖς καὶ παλαιοῖς ἀνδράσιν ἐπιτιμᾶν.* Crat. 406. B: *μεγάλα ... ἐρωτᾷς.* Pol. I. 343. C: *τὸν μεγάλα δυνάμενον πλεονεκτεῖν.* III. 404. A: (*ὅτι*) *μεγάλα*

καὶ σφόδρα νοσοῦσιν οὗτοι οἱ ἀσκηταί. IV. 426. C: *σοφὸς τὰ μεγάλα.* VII. 538. B: *ἧττον ... ἀπειθεῖν τὰ μεγάλα ἐκείνοις ἢ τοῖς κόλαξιν.* Lach. 183. D: *τὰ μεγάλα περὶ αὑτοῦ λέγοντα.* Prot. 314. A: *πολὺ μείζων κίνδυνος* cet. Pol. IV. 424. D: *μείζων ἐκβαίνει (ἡ παρανομία).* De iusto 373. E: *τὸ μὲν μεῖζον ὑπερέχον, τὸ δὲ ἔλαττον ὑπερεχόμενον.* Pol. I. 347. E: *πολὺ δέ μοι δοκεῖ μεῖζον εἶναι ὃ νῦν λέγει Θ.* V. 457. D: *πολὺ ... τοῦτο ἐκείνου μεῖζον πρὸς ἀπιστίαν.* Tim. 40. D: *μεῖζον ἢ καθ' ἡμᾶς.* Pol. II. 373. E: *μείζονος τῆς πόλεως δεῖ.* 368. D: *ἐν μείζονι.* Soph. 245. E: *μείζω ... πλάνην.* Crat. 438. C: *μείζω τινὰ δύναμιν εἶναι ἢ ἀνθρωπείαν* cet. Apol. 20. E: *μείζω τινὰ ἢ καθ' ἄνθρωπον σοφίαν.* Phil. 25. C: *καὶ μεῖζον καὶ σμικρότερον.* Pol. VI. 491. A: *εἰς ... μεῖζον ἑαυτῶν ἀφικνούμεναι ἐπιτήδευμα.* Hipp. min. 372. D: *ἵνα μηδὲν ἐμαυτὸν μεῖζον εἴπω.* Ep. VII. 343. A: *ὁ κύκλος οὔτε τι σμικρότερον οὔτε μεῖζον τῆς ἐναντίας ἐν αὑτῷ φύσεως.* — Adverbii instar ponitur *μεῖζον.* Prot. 334. C: *μεῖζον* (*clarius*) *φθέγγεσθαι.* Id. Legg. VII. 817. C. Conv. 216. C: *ὅτι πολὺ μεῖζον* (*magis*) *ἂν ἀχθοίμην.* — Pol. II. 368. D: *μείζω (γράμματα).* V. 475. A: *κἂν μὴ ὑπὸ μειζόνων καὶ σεμνοτέρων τιμῶνται.* Epin. 980. D: *σμικρῶν καὶ μειζόνων.* Legg. XI. 926. B: *ἐπὶ μείζοσι γάμοις τὴν διάνοιαν ἐπέχων.* Ep. VII. 327. E: *τίνας ... καιροὺς ... μείζους περιμενοῦμεν τῶν νῦν παραγεγονότων —;* Pol. VII. 537. D: *εἰς μείζους ... τιμὰς καθιστάναι.* Legg. XII. 958. E: *λίθινα ... ἐπιστήματα μὴ μείζω ποιεῖν ἢ* cet. Menex. 234. A: *ἐπὶ τὰ μείζω ἐπινοεῖς τρέπεσθαι.* Ep. VII. 345. B: *οὐ καθ' αὑτόν, μείζονα δέ.* Alc. I. 104. A: *οἴει ... εἶναι ... κάλλιστός τε καὶ μέγιστος.* Phil. 58. C: *μεγίστη καὶ ἀρίστη (ἐπιστήμη).* Prot. 330. A: *μέγιστον ... τῶν μορίων.* Pol. II. 377. A: *ὅτι ἀρχὴ παντὸς ἔργου μέγιστον.* Tim. 26. A: *ὅπερ ἐν ἅπασι τοῖς τοιοῖσδε μέγιστον ἔργον.* 29. B. Theaet. 184. A: *καὶ τὸ μέγιστον* (*et quod maximum est*). Soph. 260. A: *τὸ μὲν μέγιστον* (*id quod maximum* vel *gravissimum est*) *φιλοσοφίας ἂν στερηθεῖμεν.* Parm. 133. B: *μέγιστον δὲ τόδε.* Conv. 196. B: *τὸ μὲν μέγιστον ὅτι* (*hoc autem maximum est quod*) cet. Pol. III. 407. B: *τὸ δὲ δὴ μέγιστον ὅτι* cet. Legg. XII. 942. D. Apol. 41. B. Similiter interponitur *τὸ μέγιστον, id quod maximum est*, Ep. VII. 336. B. VIII. 355. D. Adverbiorum instar usurpatur *τὸ μέγιστον, maximam partem* (Pol. III. 410. C. VII. 528. A.); etiam *maxime* (Legg. XII. 961. D. Sine artic. Menex. 237. C. Ep. VII. 328. C.). Phaed. 61. A: *ὡς φιλοσοφίας ... οὔσης μεγίστης μουσικῆς.* Polit. 292. D: *σχεδὸν τῆς χαλεπωτάτης καὶ μεγίστης κτήσασθαι.* Pol. IX. 578. C: *περὶ γάρ τοι τοῦ μεγίστου ἡ σκέψις.* Soph. 243. D: *περὶ ... τοῦ μεγίστου.* Pol. III. 416. C: *εἰ μέλλουσι τὸ μέγιστον* (*hoc quod maximam vim habet*) *ἔχειν πρὸς*

τὸ ἥμεροι εἶναι αὐτοῖς cet. Adverbii instar ponitur *μέγιστον*. Alc. I. 105. B: *μέγιστον* (*plurimum*) *δυνήσεσθαι ἐν τῇ πόλει*. Euthyd. 300. B: *φθεγγόμενα καὶ βοῶντα μέγιστον* (*clarissime*) *τὰ σιδήρια λέγεται*. — Phil. 56. E: *δύο τὰ σμικρότατα καὶ τὰ πάντων μέγιστα*. Pol. III. 389. D: *σωφροσύνης ... οὐ τὰ τοιάδε μέγιστα —;* Critia 108. D: *τὰ μέγιστα ... τῶν λόγων*. Theaet. 201. A: *ἡ τῶν μεγίστων εἰς σοφίαν* (*ἐπιστήμη*). Pol. II. 377. E: *τὸ μέγιστον καὶ περὶ τῶν μεγίστων ψεῦδος*. VII. 534. D: *κυρίους τῶν μεγίστων εἶναι*. Legg. X. 888. B. VIII. 835. C: *ἐναντία λέγων ταῖς μεγίσταισιν ἐπιθυμίαις*. X. 900. A: *ἐν τιμαῖς ταῖς μεγίσταις*. Ep. VII. 351. A. Polit. 302. A: *τῶν περὶ τὰ μέγιστα μεγίστην ἄγνοιαν εἰληφότων*. 307. D. Crat. 391. D: *μέγιστα δὲ καὶ κάλλιστα* (*λέγει*). Conv. 198. E: *τὸ ὡς μέγιστα ἀνατιθέναι τῷ πράγματι καὶ ὡς κάλλιστα*. Legg. VIII. 842. E: *τὰ μέγιστα ἤδη νενομοθετηκὼς περὶ γάμους* cet.

μέγεθος, τό, *magnitudo*; *proceritas* et *longitudo*; *potestas*, *vis* et *vehementia*; etiam *gravitas* et *difficultas*. Gorg. 509. C: *ὡς ἑκάστου κακοῦ μέγεθος πέφυκεν, οὕτω* cet. Pol. X. 602. C: *ταὐτὸν ... μέγεθος*. Legg. III. 698. B: *τὸ μέγεθος τοῦ στόλου*. Ep. VII. 351. D: *χειμώνων ... ἐξαίσιον ... μέγεθος*. Phaed. 107. A: *ὑπὸ μέντοι τοῦ μεγέθους περὶ ὧν οἱ λόγοι εἰσί* cet. Critia 116. E. Legg. XI. 934. B: *τοῦ ... μεγέθους τῆς κολάσεως ἑκάστων ἕνεκα*. Apol. 30. E: *ὑπὸ μεγέθους ... νωθεστέρῳ* (*ἵππῳ*). Euthyd. 274. A: *ὑπὸ ... τοῦ μεγέθους τοῦ ἐπαγγέλματος οὐδὲν θαυμαστὸν ἀπιστεῖν*. Prot. 320. E: *ἃ ... ηὖξε μεγέθει*. Phaed. 100. E. Parm. 151. D: *ἴσον μεγέθει*. Pol. VI. 488. A: *μεγέθει ... καὶ ῥώμῃ*. X. 614. A. Tim. 24. E: *μεγέθει καὶ ἀρετῇ*. Critia 117. A: *πρέποντα ... τῷ τῆς ἀρχῆς μεγέθει*. Legg. V. 733. B: *πλήθει καὶ μεγέθει*. IX. 867. D: *μεγέθει θυμοῦ*. Alc. I. 123. E: *κάλλει τε καὶ μεγέθει* cet. Gorg. 456. A: *δαιμονία ... τις ... τὸ μέγεθος*. Polit. 290. D: *διὰ τὸ μέγεθος τῶν ἐγχειρημάτων*. Phil. 45. C: *οἷον μέγεθός με ζητεῖν ἡδονῆς*. 57. C: *εἰς θαυμαστὸν διαφορᾶς μέγεθος ... προεληλύθαμεν ἐπιστημῶν*. Pol. IV. 423. B: *ὅσην δεῖ τὸ μέγεθος τὴν πόλιν ποιεῖσθαι*. X. 608. C: *ἀμήχανόν τι ... λέγεις μέγεθος*. Tim. 57. D: *μέγεθος ἔχον* (*τρίγωνον*). Critia 112. A. Legg. IV. 715. C: *ἰσχὺν ἢ μέγεθος ἤ τι γένος*. Charm. 154. C: *θαυμαστὸς ἐφάνη τό τε μέγεθος καὶ τὸ κάλλος*. Ep. VII. 329. A: *τὸ μέγεθος ... τοῦ πλοῦ καὶ τοῦ πόνου ἐπαιτιώμενος*. Prot. 356. C: *τὰ αὐτὰ μεγέθη*. Charm. 168. E. Critia 115. D: *μεγέθεσι κάλλεσί τε ἔργων*. Legg. IX. 860. B: *πλήθει καὶ μεγέθεσι*. 861. E. Phaed. 111. D: *ἀενάων ποταμῶν ἀμήχανα μεγέθη*. Soph. 251. A: *τὰ σχήματα καὶ μεγέθη* (*αὐτῷ ἐπιφέροντες*).

μεγεθουργία, ἡ, *rerum magnarum molitio*. Ax. 370.

B: οὐ γὰρ δὴ θνητή γε φύσις τόσον διήρατο μεγεθουργίας ὥστε cet.

μέδομαι, *curo*. Hipp. min. 371. B. (Hom.).

μέθεξις, *ἡ*, *communicatio*, *communitas*. Parm. 132. D: ἡ μέθεξις αὕτη τοῖς ἄλλοις ... τῶν εἰδῶν οὐκ ἄλλη τις, ἢ εἰκασθῆναι αὐτοῖς. 151. E: τὸ ... εἶναι ἄλλο τί ἐστιν ἢ μέθεξις οὐσίας μετὰ χρόνου τοῦ παρόντος —; Soph. 256. A: διὰ τὴν μέθεξιν ταὐτοῦ πρὸς αὑτήν (αὐτήν?). 259. A. Parm. 141. D: χρόνου μέθεξιν.

μέθη, *ἡ*, *potatio* vel *potus immoderatus* et (quae inde exsistit) *ebrietas*. Conv. 176. D: ὅτι χαλεπὸν τοῖς ἀνθρώποις ἡ μέθη ἐστί. Pol. III. 398. E. Legg. II. 671. E. Conv. 176. E: μὴ διὰ μέθης ποιήσασθαι τὴν ... συνουσίαν. Pol. III. 396. D: ὑπὸ μέθης. IX. 571. C: ἢ σίτων ἢ μέθης πλησθέν. Legg. I. 637. A: κωμάζοντί τινι μετὰ μέθης. 637. D: περὶ ἁπάσης μέθης. Ib. μέθης ... αὐτῆς πέρι. II. 666. B: μέθης ... καὶ πολυοινίας. III. 695. B: μαινόμενος ὑπὸ μέθης τε καὶ ἀπαιδευσίας. Pol. VI. 488. C: μανδραγόρᾳ ἢ μέθῃ ... ξυμποδίσαντες. Legg. II. 671. D: μέθῃ διαμάχεσθαι. 674. A: μέθῃ χρῆσθαι. Phaedr. 240. E: εἰς ... μέθην ἰόντος. Pol. II. 363. D: μέθην αἰώνιον. Legg. I. 645. D: προςφέροντες ... τὴν μέθην. VI. 775. B: πίνειν ... εἰς μέθην. De lege 320. A. Phaedr. 256. C: ἐν μέθαις. Legg. III. 682. E: περιπεσόντες μουσικῇ τε καὶ ταῖς μέθαις. Phaedr. 238. B: περὶ ... μέθας τυραννεύσασα. Transfertur ad eum qui tamquam ebrius titubat. Legg. I. 639. B: κἂν δειλὸς ὢν ἐν τοῖς δεινοῖς ὑπὸ μέθης τοῦ φόβου ναυτιᾷ.

μεθημερινός, *ή*, *όν*, *diurnus*. Soph. 220. D: τὸ μεθημερινόν (opp. τὸ νυκτερινόν). Tim. 45. C: μεθημερινὸν (v. μεσημερινὸν) ... φῶς.

μεθιδρύω, *transfero*. Legg. X. 904. E: ἐπὶ τἀναντία μεθιδρύσασα (μεθιδρύσατο?) τὸν αὑτῆς βίον.

μεθίημι, *dimitto*; *missum facio*; *omitto*; *solvo*. Tim. 81. D: μεθιᾶσι τοὺς τῆς ψυχῆς ... δεσμούς. Lach. 187. B: μὴ μεθίει τοὺς ἄνδρας. Legg. XI. 914. E: μεθιέτω ... ὁ ἄγων. IX. 879. E: μεθιέντων ἄμφω. Phil. 286. E: μηδ' εὐθὺς οὕτω μεθιέναι. Pol. V. 450. A. Legg. II. 665. D. VII. 811. E. Tim. 85. E: μεθῆκε ... ἐλευθέραν (τὴν ψυχήν). Phil. 50. D: μεθεῖναί με. 16. E: τὸ ἓν ἕκαστον ... εἰς τὸ ἄπειρον μεθέντα χαίρειν ἐᾶν. 23. B: ὥς οὐδείς πώ σε ἡμῶν μεθήσει. Pol. VII. 537. B: ἡνίκα ... τῶν ἀναγκαίων γυμνασίων μεθίενται. D: ὀμμάτων καὶ τῆς ἄλλης αἰσθήσεως ... μεθιέμενος. Soph. 267. B: τὸ δὲ μεθείσθω. Legg. X. 886. D. VI. 781. A: διὰ ... τούτου μεθειμένου. Tim. 55. D: καὶ τούτων μὲν μεθετέον. * *immitto* vel *emitto*; etiam *sino*. Phil. 62. D: μεθιῶ (v. μεθίω) δὴ τὰς ξυμπά-

σας ῥεῖν εἰς τὴν ... ὑποδοχήν; Legg. VIII. 844. C: *ὁ ἐπάνω μεθιεὶς εἰκῇ τὰ ῥεύματα.* Tim. 79. C: *ἔξω μεθιέν.* 78. C: *τὸ μὲν τῶν ἐγκυρτίων εἰς τὸ στόμα μεθῆκε.* 62. E: *εἰς ταὐτὸν μεθεῖμεν ἀθρόας.* Legg. XII. 951. D: *εἰ μέλλει τὸ τῶν νομοφυλάκων δεῖγμα εἰς τὰς ἄλλας μεθήσειν πόλεις.* VI. 781. A: *τὸ δὲ περὶ τὰς γυναῖκας οὐδαμῶς ὀρθῶς ἀνομοθέτητον μεθεῖται.* Phil. 62. D: *μεθεῖνται.* Legg. I. 636. D: *δύο γὰρ αὗται πηγαὶ μεθεῖνται φύσει ῥεῖν.* Phil. 62. E: *μεθείσθων δή.*

μεθίστημι, *converto*, *muto.* Pol. VIII. 562. C: *ἆρ' οὖν ... ἡ τοῦ τοιούτου ἀπληστία ... καὶ ταύτην τὴν πολιτείαν μεθίστησι —;* Legg. VII. 797. C: *λανθάνειν ... τῶν νέων τὰ ἤθη μεθιστάντα.* Ep. III. 315. D: *τὴν ἀρχὴν ἀντὶ τυραννίδος εἰς βασιλείαν μεταστήσαντα.* 319. D: *βασιλείαν ἀντὶ τυραννίδος μεταστήσαντα* (*mutando constituentem*). Pol. II. 380. D: *ἢ αὐτὸ ὑφ' ἑαυτοῦ μεθίστασθαι ἢ ὑπ' ἄλλου.* Tim. 82. A: *μεθισταμένου.* Intrans. et med. *me converto*, *transeo* vel *migro*; *mutor*; cum praep. *ἐκ prodeo*, *exsisto.* Pol. VIII. 553. E: *ἐξ ἧς ἡ ὀλιγαρχία μετέστη.* Ep. VII. 348. D: *μεταστῆναι δ' ἐκ τῆς χώρας.* Pol. II. 382. E: *οὔτε αὐτὸς μεθίσταται* (*mutatur*) cet. IX. init. *πῶς μεθίσταται ἐκ δημοκρατικοῦ* (*ὁ τυραννικὸς ἀνήρ*). Parm. 162. C: *οὐδ' ἂν μεθίσταιτό ποθέν ποι.* Legg. VI. 762. B: *τῷ μεθίστασθαι ... εἰς ἕτερον ἀεὶ τόπον.* Pol. VII. 518. A: *ἔκ τε φωτὸς εἰς σκότος μεθισταμένων καὶ ἐκ σκότους εἰς φῶς.* Ep. III. 319. E: *ἐκ τοῦ ψεύδους εἰς τὸν ἀληθῆ λόγον μεταστήσει* (v. *μετάστηθι*). Ax. 372: *ἡ ... ἐκ τοῦδε τοῦ χωρίου μετασταθεῖσα* (*ψυχή*). Ep. III. 319. E: *ἐκ τοῦ ψεύδους εἰς τὸν ἀληθῆ λόγον μεταστήσει* (v. *μετάστηθι*). Ax. 372: *ἅτε εἰς ἀμείνω οἶκον μεταστησόμενος.*

μέθοδος, *ἡ*, *investigatio*, *quaestio*; *via* vel *ratio disputandi, exponendi* et in univ. *secta ratioque* (Cic.); etiam *ratio aliquid ponens* vel *statuens.* Phaedr. 269. D: *οὐχ ἧ Τισίας ... πορεύεται δοκεῖ μοι φαίνεσθαι ἡ μέθοδος.* 270. D. Polit. 260. E: *τοῦ γὰρ ἄρχοντος ἕνεκα ἡμῖν ἡ μέθοδος ἦν.* Pol. VII. 531. C. 533. B. C: *οὐκοῦν ... ἡ διαλεκτικὴ μέθοδος μόνη ταύτη πορεύεται —;* Legg. XII. 965. C: *ὄντως ... ταύτης οὐκ ἔστι σαφεστέρα μέθοδος ἀνθρώπων οὐδενί.* Phaedr. 270. C: *ἄνευ τῆς μεθόδου ταύτης.* Phaed. 79. E: *ἐκ ταύτης τῆς μεθόδου.* 97. B: *κατὰ τοῦτον τὸν τρόπον τῆς μεθόδου.* Soph. 265. A. Pol. X. 596. A: *ἐκ τῆς εἰωθυίας μεθόδου.* Soph. 227. A: *τῇ τῶν λόγων μεθόδῳ ... οὐδέ τι μᾶλλον τυγχάνει μέλον* cet. Polit. 266. D: *τῇ τοιᾷδε μεθόδῳ τῶν λόγων.* Ep. II. 314. D. Theaet. 183. C: *κατά γε τὴν τοῦ πάντα κινεῖσθαι μέθοδον* (vern. *Annahme*). Soph. 218. D: *τὴν μέθοδον* (*investigationem*) *αὐτοῦ προμελετᾶν.* E. 235. C: *τὴν τῶν οὕτω δυναμένων μετιέναι ... μέθοδον.* 243. D: *λέγω ... ταύτῃ* (v. *ταύτην*) *δεῖν ποιεῖσθαι τὴν μέθοδον*

ἡμᾶς. Polit. 286. D: *τὴν μέθοδον ... τοῦ κατ' εἴδη δυνατὸν εἶναι διαιρεῖν.* Pol. VI. 510. B: *αὐτοῖς εἴδεσι δι' αὐτῶν τὴν μέθοδον ποιουμένη.* C: *καθ' ἑκάστην μέθοδον.* Legg. I. 638. E: *ἂν ἄρα δύνωμαι τὴν περὶ ἁπάντων τῶν τοιούτων ὀρθὴν μέθοδον ἡμῖν δηλοῦν.* Pol. IV. 435. D: *ἐκ τοιούτων μεθόδων, οἵαις νῦν ἐν τοῖς λόγοις χρώμεθα.*

μεθόριον, τό, confinium. Legg. IX. 878. B: *οἷς ἔστι μεθόριον.* Locr. 102. B: *ἡ δ' ἀκμὰ μεθόριον τουτέων ἐστί.* Euthyd. 305. C: *οὓς ἔφη Πρόδικος μεθόρια φιλοσόφου τε ἀνδρὸς καὶ πολιτικοῦ.*

μέθυ, τό, vinum. Pol. III. 390. B. (Hom.).

μεθύσκω, ebrium reddo. Legg. I. 649. D: *δι' ἡδονῆς ... μεθύσκοντα.* Med. *ebrius sum.* Conv. 176. C: *περὶ τοῦ μεθύσκεσθαι οἷόν ἐστι τἀληθῆ λέγων.*

μεθυστικός, ή, όν, ebriosus. Pol. IX. 573. C: *μεθυστικός τε καὶ ἐρωτικὸς* cet.

μεθύω, ebrius vel *temulentus sum;* ut Lat. *madeo*, etiam *repletus sum.* Lys. 222. C: *ἐπειδὴ ὥσπερ μεθύομεν ὑπὸ τοῦ λόγου.* Conv. 215. D: *μεθύειν.* Pol. IV. 426. A: *μεθύων.* VIII. 561. C. Legg. I. 640. D. al. Phaed. 79. C: *ἰλιγγιᾷ ὥσπερ μεθύουσα (ἡ ψυχή).* Conv. 212. D: *σφόδρα μεθύοντος.* Ib. *μεθύοντα ἄνδρα πάνυ σφόδρα.* 214. C. 220. A. Legg. I. 637. B: *πᾶσαν ... τὴν πόλιν ... μεθύουσαν.* Critia 121. A: *οὐ μεθύοντες ὑπὸ τρυφῆς* cet. Legg. I. 640. D: *μεθυόντων.* Pol. II. 363. D: *μεθύοντας.* III. 395. E: *μεθύοντας ἢ καὶ νήφοντας.* Conv. 214. A: *οὐδὲν μᾶλλον μή ποτε μεθυσθῇ.* Pol. VIII. 562. D: (*ὅταν*) *ποῤῥωτέρω τοῦ δέοντος ἀκράτου αὐτῆς (τ. ἐλευθερίας) μεθυσθῇ.* Conv. 203. B: *μεθυσθεὶς τοῦ νέκταρος.* IX. 573. B. Legg. I. 646. A. Pol. III. 403. E: *μεθυσθέντι.*

μειδιῶ, subrideo. Parm. 130. A: *μειδιᾶν.* Phaed. 86. D: *μειδιάσας ... ἔφη.* 102. D. Euthyd. 275. E: *πάνυ μειδιάσας τῷ προσώπῳ ... ἔφη.*

μειζόνως, magis, amplius; vehementius. Polit. 300. B: *ἔτι μειζόνως.* Crat. 407. B: *ἔτι δὲ μειζόνως λέγων θεοῦ νόησιν.* Pol. IV. 422. E: *μειζόνως* (*ampliore nomine*) ... *χρὴ προσαγορεύειν τὰς ἄλλας.* Tim. 48. E: *μειζόνως τῆς πρόσθεν διῃρημένη.* Critia 106. C. Legg. III. 693. E: *ἀγαπήσασα μειζόνως ἢ ἔδει.* V. 740. A. VII. 789. B: *μειζόνως ... ἢ δεῖ* (*ultra quam par est*). 797. D. IX. 867. B: *μειζόνως ... τιμωρητέον* (sq. *ἐλαττόνως*). XI. 930. A: *ἐὰν δ' αἱ ψυχαὶ κυμαίνωσι μειζόνως αὐτῶν.* 932. A. Ep. VI. 322. E.

μείης, i. q. *μείς.* Crat. 409. C.

μειράκιον, τό, adolescentulus. Prot. 315. D: *νέον τι ἔτι μειράκιον.* Parm. 126. C: *μειράκιον ... ὢν* cet. Conv. 215. D: *ἐάν τε ἀνὴρ ἐάν τε μειράκιον.* Apol. 34. C: *εἷς μὲν μειράκιον ἤδη, δύο δὲ παιδία.* Charm. 154. B: *νῦν δ' ... εὖ μάλ' ἂν ἤδη μειράκιον εἴη.* Theaet. 144. C: *τοῦ*

μειρακίου. Gorg. 485. A: *μειρακίῳ ὄντι.* C: *παρὰ νέῳ ... μειρακίῳ.* Theaet. 142. C. Conv. 223. A. Riv. 132. B: *τὼ μειρακίω.* 133. A. Gorg. 499. B: *ὥσπερ τὰ μειράκια.* Pol. VI. 497. E: *μειράκια ὄντα ἄρτι ἐκ παίδων.* Legg. II. 658. D: *τὰ νέα μειράκια.* Apol. 18. C: *παῖδες ὄντες, ἔνιοι δ' ὑμῶν καὶ μειράκια.* Lach. 179. D: *ἐπειδὴ μειράκια ἐγενόμεθα.* Gorg. 485. D: *μετὰ μειρακίων.* Theaet. 173. B: *ὥστ' ... εἰς ἄνδρας ἐκ μειρακίων τελευτῶσι.* Conv. 192. A: *βέλτιστοι τῶν παίδων καὶ μειρακίων.* Pol. V. 468. B. Lach. 200. D: *τοῖς μειρακίοις.* Theaet. 168. E: *παίζοντες πρὸς μειράκια.* Pol. VI. 498. B: *μειράκια ... ὄντα καὶ παῖδας.* Riv. 135. A.

μειρακίσκος, ὁ, adolescentulus. Phaedr. 237. B: *ἦν οὕτω δὴ παῖς, μᾶλλον δὲ μειρακίσκος.* Theag. 122. C. Pol. VII. 539. B: *οἱ μειρακίσκοι.*

μειρακιώδης, ὁ ἡ, puerilis. Pol. V. 466. B: *ἀνόητός τε καὶ μειρακιώδης δόξα ... εὐδαιμονίας πέρι.* Gorg. 485. E: *μειρακιώδει ... μορφώματι* (Eurip.). Pol. VI. 498. B: *μειρακιώδη παιδείαν καὶ φιλοσοφίαν.*

μείρομαι, sortior, sorte nanciscor. Locr. 95. A: *γᾶς μεμόρακται πυρός τε* cet.

μείς, ὁ, mensis. Crat. 409. C. Tim. 39. C.

μειῶ, minuo, med. *decresco.* Crat. 409. C: *ἀπὸ τοῦ μειοῦσθαι.*

μείων, minor. Locr. 102. B: *εἰ ... μείω (ἐπάρδοιτο), φθίσις (λέγεται).*

μελαγχολία, ἡ, atra bilis. Locr. 103. A: *ἐς ... μελαγχολίας ... ἄγοισαι.*

μελαγχολικός, ή, όν, melancholicus. Pol. IX. 573. C: *ὅταν ... μελαγχολικὸς γένηται.*

μελαγχολῶ, insanio, deliro. Phaedr. 268. E: *ὦ μοχθηρέ, μελαγχολᾶς.*

μελαίνω, intrans. et med. *nigresco.* Tim. 83. A: *μελαίνει ... ὑπὸ παλαιᾶς ξυγκαύσεως.* Polit. 270. E: *τῶν ... πρεσβυτέρων αἱ λευκαὶ τρίχες ἐμελαίνοντο.* Tim. 59. B: *μελανθέν.*

μελανόμματος, ὁ ἡ, nigros habens oculos. Phaedr. 253. D: *λευκὸς ἰδεῖν, μελανόμματος* cet.

μέλας, αινα, αν, niger; neutr. etiam *atramentum.* Pol. VII. 523. D: *ἐάν τε λευκὸς ἐάν τε μέλας.* II. 363. B: *γαῖα μέλαινα* (Hom.). Theaet. 181. C: *(ὅταν) μέλαν ἐκ λευκοῦ ... γίγνηται.* Tim. 83. B: *τὸ μέλαν χρῶμα.* C: *μελαίνης χολῆς.* 85. A. 68. C: *μέλανος.* 83. B. Hipp. min. 371. C: *νηῒ μελαίνῃ* (Hom.). Prot. 331. D: *τὸ λευκὸν τῷ μέλανι ἔστιν ὅπῃ προσέοικε.* Phaedr. 276. C: *μέλανι σπείρων διὰ καλάμου.* Pol. IV. 419. C: *μέλανι (ἐναληλιμμένοι).* Tim. 68. B. Critia 116. A: *τὸν δὲ (λίθον) μέλανα.* Pol. IX. 585. A: *πρὸς μέλαν φαιὸν ἀποσκοποῦντες.* Tim. 67. E: *τὸ*

μὲν διακριτικὸν τῆς ὄψεως λευκόν, τὸ δ' ἐναντίον αὐτοῦ μέλαν (*προσρητέον*). Legg. X. 897. A. Lys. 217. D: *μέλαιναι* (*τρίχες*). Prot. 346. D: *οἷς μέλανα μὴ μέμικται.* Theaet. 184. D: *λευκῶν τε καὶ μελάνων.* Pol. V. 474. E: *μέλανας ... ἀνδρικοὺς ἰδεῖν.* Theaet. 184. B: *τὰ ... μέλανα.*

μέλε, ὦ μέλε, blanda est appellatio. Theaet. 178. E: *νὴ Δία, ὦ μέλε.*

μέλει, curae est (i. q. *curo, specto*; etiam *administro* vel *guberno*); *interest, refert*; praeter. etiam valet *tractavi, operam dedi* al. (cum genit. rei vel praep. *περί* et genit.; etiam c. nomin.). Phaed. 60. D: *εἰ οὖν τί σοι μέλει τοῦ ἔχειν ἐμὲ ... ἀποκρίνασθαι.* 82. D: *οἷς τι μέλει τῆς αὐτῶν ψυχῆς.* Theaet. 144. E. 172. D: *διὰ μακρῶν ἢ βραχέων μέλει οὐδὲν λέγειν.* 199. A: *ὅτι τῶν ... ὀνομάτων οὐδὲν ἡμῖν μέλει.* Conv. 216. D. Pol. I. 345. D: *τῇ ... ποιμενικῇ οὐ δήπου ἄλλου του μέλει ἢ* cet. II. 365. D: (*εἰ*) *μηδὲν αὐτοῖς τῶν ἀνθρωπίνων μέλει.* VII. 519. E: *ὅτι νόμῳ* (v. *νομοθέτῃ*) *οὐ τοῦτο* (v. *τούτου*) *μέλει ὅπως* cet. IX. 581. B: (*ὅτι*) *χρημάτων ... ἥκιστα τούτων τούτῳ μέλει.* Legg. I. 637. A: *ἐν ἄστεσιν ὅσων Σπαρτιάταις μέλει.* II. 660. A: *οἷς μέλει τούτων.* IX. 871. C. Euth. 3. C: *Ἀθηναίοις ... οὐ σφόδρα μέλει ἄν* cet. Apol. 32. D. Alc. II. 150. D: *ᾧ μέλει περὶ σοῦ.* Lach. 182. E: *οἷς οὐδὲν ἄλλο μέλει ... ἢ τοῦτο ζητεῖν* cet. Ep. VII. 337. E: *ᾧ μέλει ἀκούειν.* Legg. VIII. 835. D: *ἐν ᾗ* (*πόλει*) *... θυσίαι τε καὶ ἑορταὶ καὶ χοροὶ πᾶσι μέλουσι διὰ βίου.* Lys. 211. C: *μηδενός σοι ... μελέτω.* Phaedr. 274. C: *ἆρ' ἄν γ' ἔθ' ἡμῖν μέλοι τι τῶν ἀνθρωπίνων δοξασμάτων;* Ep. III. 319. A. Pol. V. 469. E: *ἐάν τι ἡμῖν μέλῃ τῆς ... εὐνοίας.* Phaedr. 272. D: *οὐδὲν ... τούτων ἀληθείας μέλειν οὐδενί.* Pol. VII. 538. C: *πατρὸς ... μέλειν τὸ μηδέν.* Tim. 24. B: *οἷς οὐδὲν ἄλλο πλὴν τὰ περὶ τὸν πόλεμον ὑπὸ τοῦ νόμου προσετάχθη μέλειν.* 71. A. Legg. VIII. 849. A: *τοῖς ... ἀγορανόμοις τὰ περὶ ἀγοράν που δεῖ ἕκαστα μέλειν.* IX. 875. A: *ὅτι πολιτικῇ καὶ ἀληθεῖ τέχνῃ οὐ τὸ ἴδιον, ἀλλὰ τὸ κοινὸν ἀνάγκη μέλειν.* XII. 969. A: *σοὶ ... τοῦτό γε ... μέλειν παρακελεύομαι.* Phaedr. 235. A: *ἢ ἴσως οὐδὲν αὐτῷ μέλον τοῦ τοιούτου.* Gorg. 501. B: *οὔτε μέλον αὐταῖς ἄλλο ἢ χαρίζεσθαι μόνον.* Soph. 227. A: *τυγχάνει μέλον.* Legg. VI. 766. C: *οἷς ἦν ... τοῦτο μέλον.* Apol. 24. D: *μέλον γέ σοι* (*quum istud cures*). Crat. 428. B: *μεμέληκε ... μοι περὶ αὐτῶν.* Apol. 25. C. Men. 81. A. Lach. 187. C: *ὅτι μεμεληκέναι ὑμῖν ἡγούμεθα ... περὶ τῶν τοιούτων.* 179. B. Prot. 339. B: *πάνυ μοι τυγχάνει μεμεληκὸς τοῦ ᾄσματος.* Polit. 266. D: *ὅτι τῇ τοιᾷδε μεθόδῳ τῶν λόγων οὔτε σεμνοτέρου μᾶλλον ἐμέλησεν ἢ μή.* Apol. 24. C: *ὧν οὐδὲν τούτῳ πώποτε ἐμέλησεν.* 26. B. Alc. II. 149. A. Phaedr. 238. D: *ταῦτα ... θεῷ μελήσει.* Id. Phaed. 95. B. Legg. XI. 923. B: *ἡμῖν δὲ περὶ τῶν ἄλ-*

λων τῶν ὑμετέρων μελήσει. Ep. VII. 334. A. Verb. Pol. II. 365. D: οὐδ' ἡμῖν μελητέον τοῦ λανθάνειν.

μελέτη, ἡ, *meditatio; studium, exercitatio.* Phaed. 81. A: ἢ οὐ τοῦτ' ἂν εἴη μελέτη θανάτου; Polit. 286. A: ῥάων δ' ἐν τοῖς ἐλάττοσιν ἡ μελέτη παντὸς πέρι μᾶλλον ἢ περὶ τὰ μείζω. Conv. 208. A: μελέτη ... σώζει τὴν ἐπιστήμην. Men. 75. A: ἵνα καὶ γένηταί σοι μελέτη πρὸς τὴν περὶ τῆς ἀρετῆς ἀπόκρισιν. Phaed. 82. A: κατὰ τὰς αὐτῶν ὁμοιότητας τῆς μελέτης. B: ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν. Theaet. 153. B: ὑπὸ μαθήσεως ... καὶ μελέτης. Phil. 56. A. Pol. III. 402. B: ἔστι τῆς αὐτῆς τέχνης τε καὶ μελέτης. V. 455. B. Legg. VII. 804. C: μαθήσεώς τε ἅμα καὶ μελέτης τῶν νέων. Phil. 56. A: μελέτῃ καὶ πόνῳ τὴν ῥώμην ἀπειργασμένας. Legg. I. 648. D: φύσει καὶ μελέτῃ καλῶς παρεσκευάσθαι. II. 673. E: μελέτῃ χρωμένη. Phaedr. 269. D: προςλαβὼν ἐπιστήμην τε καὶ μελέτην. Gorg. 500. D: ἑκατέρου ... αὐτοῖν μελέτην τινὰ εἶναι. Phaed. 81. C: διὰ τὴν πολλὴν μελέτην. Pol. II. 374. D. Tim. 88. C: ἤ τινα ἄλλην σφόδρα μελέτην διανοίᾳ κατεργαζόμενον. Legg. IX. 865. A: κατὰ μελέτην τὴν πρὸς πόλεμον. Pol. III. 407. B: πρὸς μαθήσεις ... καὶ μελέτας.

μελέτημα, τό, *meditatio, studium.* Phaed. 67. D: τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος.

μελετητός, ή, όν, *qui studio et exercitatione percipi potest.* Clit. 407. B: εἰ δὲ μελετητόν τε καὶ ἀσκητόν (ἡ δικαιοσύνη).

μελετῶ, *meditor; studeo, exerceo* vel *colo* (ut *artem*); *contendo, id ago ut* cet. Phaed. 67. E: τῷ ὄντι ἄρα ... οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι. Phaedr. 228. B: ἵνα μελετῴη (nos: *um sie einzuüben*). Pol. VIII. 559. A: εἰ μελετῴη ἐκ νέου. Phaedr. 274. A: οὐ γὰρ ... ὁμοδούλοις δεῖ χαρίζεσθαι μελετᾶν τὸν νοῦν ἔχοντα. Gorg. 511. B: μελετᾶν τὰς τέχνας ταύτας. C. Soph. 218. D. Conv. 208. A: ὃ ... καλεῖται μελετᾶν, ὡς ἐξιούσης ἐστὶ τῆς ἐπιστήμης. Legg. I. 643. B. VII. 839. C. Phaed. 80. E: ἅτε μελετῶσα ἀεὶ τοῦτο. Pol. III. 407. B: τῷ μὴ μελετῶντι. VII. 526. C: μανθάνοντι καὶ μελετῶντι. 525. C: οὐκ ὠνῆς ... χάριν ... μελετῶντας cet. Gorg. 448. D: ὅτι τὴν καλουμένην ῥητορικὴν μᾶλλον μεμελέτηκεν ἢ διαλέγεσθαι. Theaet. 174. C: ἐκ τοῦ μὴ μεμελετηκέναι. Phaedr. 260. C: δόξας ... πλήθους μεμελετηκώς. Phaed. 81. E: ὁποῖ' ἄττ' ἂν καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ. Pol. III. 409. B: ἀλλοτρίαν (ἀδικίαν) ἐν ἀλλοτρίαις (ψυχαῖς) μεμελετηκότα. Phaed. 81. E: τοὺς ... γαστριμαργίας ... μεμελετηκότας. Legg. VII. 813. E: πᾶσαν τὴν ἐν ὅπλοις ὄρχησιν καὶ μάχην μεμελετηκυίας. Pol. VI. 500. D: μελετῆσαι εἰς ἀνθρώπων ἤθη ... τιθέναι. V. 455. C: οἶσθά τι ... ὑπὸ ἀνθρώπων

μελετώμενον, ἐν ᾧ οὐ cet. Gorg. 527. B: (*ὡς*) *ἀνδρὶ μελετητέον οὐ τὸ δοκεῖν εἶναι ἀγαθόν, ἀλλὰ τὸ εἶναι.* Pol. III. 407. A. Legg. XII. 942. C.

μέλι, τό, mel. Pol. VIII. 564. E: *πλεῖστον ... μέλι* cet. Tim. 60. B: *ὅσον ... διαχυτικὸν ... μέλι τὸ κατὰ πάντων μάλιστα πρόσρημα ἔσχε.* Locr. 99. C. Gorg. 493. E: *μέλιτος.* Phil. 61. C. Pol. VIII. 559. D: *κηφήνων μέλιτος.* 565. A: *ἐὰν μὴ μέλιτός τι μεταλαμβάνῃ.* Ep. XIII. 361. B. Legg. VI. 782. C: *μέλιτι καρποὶ δεδευμένοι.* Ion. 534. A: *μέλι καὶ γάλα.*

μελίγηρυς, ὁ ἡ, suaviloquens. Phaedr. 269. A: *τὸν μελίγηρυν Ἄδραστον.*

μελίῤῥυτος, ὁ ἡ, mellifluens. Ion. 534. A: *ἀπὸ κρηνῶν μελιῤῥύτων.*

μέλιττα, ἡ, apis. Phaed. 91. C: *ὥσπερ μέλιττα* (*τὸ κέντρον ἐγκαταλιπών*). Men. 72. B: *μελίττης πέρι.* Ion. 534. B: *ὥσπερ αἱ μέλιτται.* Phaed. 82. B: *μελιττῶν.* Polit. 293. D: *οἷον σμήνη μελιττῶν.* Legg. VIII. 843. D: *τῇ τῶν μελιττῶν ἡδονῇ ξυνεπόμενος.* Critia 111. C: *ἃ νῦν ... ἔχει μελίτταις μόναις τροφήν.* Pol. II. 363. B: *μελίσσας* (Hom.).

μελιττουργός, ὁ, apiarius. Pol. VIII. 564. C: *σοφὸν μελιττουργόν* (al. *μελιτουργόν*). Legg. VIII. 842. D: *νομεῦσι καὶ μελιττουργοῖς.*

μελίχλωρος, ὁ ἡ, instar mellis flavus. Pol. V. 474. E: *μελιχλώρους* (v. *μελαχλώρους*).

μέλλησις, ἡ, cunctatio. Legg. IV. 723. D: *μηκέτ' ... διατριβὴν πλείω τῆς μελλήσεως ποιώμεθα.*

μέλλω, (cogn. verbo *μέλω*) pr. est *meditor, cogito* (vern. *gedenken*, h. e. *im Begriffe stehen* vel *bereit seyn*), i. q. *volo, specto, propositum habeo;* in re pos. est vern. *bevorstehen;* atque ponitur non solum in eo quod eventurum vel futurum est, verum etiam in eo quod fieri debere cogitamus (vern. *sollen* et *müssen*). Notione vero eius quod fieri debere cogitatur implicata est notio eius quod fieri potest; iccirco *μέλλειν* saepenumero est vern. *im Stande seyn.* Theaet. 148. E: *οὐδ' ἀπαλλαγῆναι τοῦ μέλλειν* (vern. *von dem Gedanken* vel *Vorsatze*). Hipp. mai. 297. E: *ἐγώ μοι δοκῶ ... οὐχ οἷός τε σὲ εἶναι περιμένειν μέλλοντα* (antec. *σκεψάμενος εὖ οἶδ' ὅτι εὑρήσω*). In re pos. id quod futurum vel eventurum est designat. Phaedr. 244. C: *ᾗ τὸ μέλλον κρίνεται.* Prot. 324. B: *τοῦ μέλλοντος* (*ἀδικήματος*) *χάριν.* Parm. 141. E: *τοῦ ἔπειτα μέλλοντος.* Tim. 72. A: *μέλλοντος ... ἢ παρόντος κακοῦ ἢ ἀγαθοῦ.* Theaet. 178. A: *περὶ τὸν μέλλοντα χρόνον.* Phil. 39. D. Pol. VI. 494. C: *τὴν μέλλουσαν αὐτοῦ δύναμιν.* Legg. III. 702. D: *εἰς τὴν μέλλουσαν πόλιν.* Phaedr. 244. B: *εἰς τὸ μέλλον.* Theaet. 178. C: *τὸ μέλλον ἀποβήσεσθαι.*

Parm. 137. A: *τρέμοντι τὸ μέλλον* (*eventurum*). Phil. 39. C: *περὶ ... τῶν μελλόντων.* Pol. IX. 572. A. Legg. I. 647. E: *φοβεῖσθαι ... τὰ μέλλοντα αὐτῷ πάντα.* Cum inf. futuri. Apol. 21. B: *μέλλω ... ὑμᾶς διδάξειν* cet. Phaedr. 270. B: *εἰ μέλλεις ... ῥώμην ἐμποιήσειν.* Parm. 148. E: *εἰ μέλλει αὐτὸ αὑτοῦ ἅψεσθαι.* Phil. 62. B: *εἰ μέλλει τις ἡμῶν* (nos: *wenn einer im Stande seyn soll*) *καὶ τὴν ὁδὸν ἑκάστοτε ἐξευρήσειν οἴκαδε.* Pol. II. 376. B. al. Phil. 49. A: *εἰ μέλλομεν ... ὄψεσθαι μίξιν.* Pol. III. 416. D: *εἰ μέλλουσι τοιοῦτοι ἔσεσθαι.* IX. 578. E: *ὅπου αὐτῷ μηδεὶς τῶν ἐλευθέρων μέλλοι βοηθήσειν.* Tim. 70. E. Theaet. 162. B: *εἴπερ μέλλοιέν μοι ἐπιτρέψειν.* De lege 318. E: *ὅταν μέλλῃς ἄνδρα ψέξειν* cet. Phaedr. 259. E: *εὐδυῖαν τἀληθὲς ὧν ἂν ἐρεῖν πέρι μέλλῃ.* 325. E: (*ἐπειδὰν*) *μέλλωσι* (*im Stande sind*) *συνήσειν τὰ γεγραμμένα.* Pol. VI. 485. B. I. 141. C: *γεγονέναι καὶ μέλλειν ἔσεσθαι.* Theaet. 143. B: *ἀεὶ μέλλων κελεύσεν ἐπιδεῖξαι.* Conv. 198. B: *μέλλων λέξειν* cet. Pol. II. 376. C: *ὁ μέλλων καλὸς κἀγαθὸς ἔσεσθαι φύλαξ πόλεως.* Legg. XI. 922. C: *μέλλων ἄνθρωπος τελευτήσειν.* Theaet. 178. D: *τοῦ μέλλοντος ἑστιάσεσθαι.* Phaedr. 232. B: *ἢ γεγενημένης ἢ μελλούσης ἔσεσθαι τῆς ἐπιθυμίας.* Charm. 173. C: *τοῦ μέλλοντος ἔσεσθαι.* Phaedr. 260. A: *τῷ μέλλοντι ῥήτορι ἔσεσθαι.* 262. A: *τὸν μέλλοντα ἀπατήσειν ... ἄλλον.* 271. C: *τὸν μέλλοντα ῥητορικὸν ἔσεσθαι.* 233. B: *τὴν μέλλουσαν ὠφέλειαν ἔσεσθαι.* Pol. VII. 516. D: *τὸ μέλλον ἥξειν.* Conv. 178. C: *τοῖς μέλλουσι καλῶς βιώσεσθαι.* Phil. 40. D: *ἐπὶ τοῖς μηδὲ μέλλουσί ποτε γενήσεσθαι.* Pol. VII. 525. B: *τοὺς μέλλοντας ἐν τῇ πόλει τῶν μεγίστων μεθέξειν.* IX. 582. A: *τὰ μέλλοντα καλῶς κριθήσεσθαι.* Charm. 173. E: *τὰ μέλλοντα ἔσεσθαι πάντα.* Gorg. 486. D: *πρὸς ἥντινα ἔμελλον προςαγαγὼν αὐτὴν ... εὖ εἴσεσθαι* cet. Crat. 418. B: *ὃ ἔμελλόν σοι ἐρεῖν.* Conv. 215. D: *εἰ μὴ ἔμελλον κομιδῇ δόξειν μεθύειν* (vern. *wenn ich nicht — würde*). Apol. 38. B: *ὅσα* (*χρήματα*) *ἔμελλον ἐκτίσειν.* Prot. 334. D: *εἴπερ ἔμελλές μοι διαλέξεσθαι.* Phaedr. 228. C: *τελευτῶν ... ἔμελλε ... βίᾳ ἐρεῖν.* Tim. 73. C: *ὅσα ἔμελλεν αὖ σχήσειν* (*εἴδη*). Men. 94. D: *ὅστις ἔμελλεν* (nos: *der im Stande gewesen wäre*) *αὐτοῦ τοὺς υἱεῖς ἀγαθοὺς ποιήσειν.* Phaed. 75. B: *εἰ ἐμέλλομεν* (*wenn wir im Stande seyn sollten*) *τὰ ἐκ τῶν αἰσθήσεων ἴσα ἐκεῖσε ἀνοίσειν.* — Cum inf. praes. Conv. 198. B: *πῶς ... οὐ μέλλω ἀπορεῖν καὶ ἐγὼ* cet. Alc. I. 114. D: *νῦν γοῦν ... μέλλω σε πείθειν τἀναντία* cet. Prot. 312. B: *ὃ μέλλεις νῦν πράττειν.* 324. E: *εἴπερ μέλλει πόλις εἶναι* (vern. *wenn ein Staat seyn soll*). Phaedr. 271. C: *εἰ μέλλει τεχνικῶς ἔχειν.* Phaed. 77. C: *εἰ μέλλει τέλος ἡ ἀπόδειξις ἔχειν* (v. *ἕξειν*). Parm. 149. A: *εἰ μέλλει ἅψις εἶναι.* Crat. 432. B: *εἰ μέλλει εἰκὼν εἶναι.* Pol. II. 370. C: *εἰ μέλλει* (v. *μέλλοι*) *καλὸν εἶναι.* Theaet. 164. C: *τί ποτε*

μέλλομεν δρᾶν; Polit. 291. C: *εἰ μέλλομεν ἰδεῖν ἐναργῶς τὸ ζητούμενον.* Pol. II. 383. C: *εἰ μέλλουσιν ἡμῖν οἱ φύλακες θεοσεβεῖς ... γίγνεσθαι.* III. 386. A: *εἰ μέλλουσιν εἶναι ἀνδρεῖοι.* Legg. III. 679. D: *ὅτι γενεαὶ ... πολλαὶ ... ἀτεχνότεροι ... μέλλουσιν εἶναι* (vern. *gewesen seyn müssen*) cet. Alc. II. 141. C: *εἰ μέλλοις κακῶς ... χρῆσθαι.* Theag. 128. E: *ὅτι μέλλοι ἀσκεῖν.* Legg. XI. 922. C: *ὅταν ἤδη μέλλειν ἡγώμεθα τελευτᾶν.* Conv. 189. A: *μέλλων λέγειν.* Pol. X. 614. B: *μέλλων θάπτεσθαι.* II. 378. D: *μέλλοντος ... ἀμύνειν.* Soph. 253. A: *τῷ μέλλοντι δρᾶν ἱκανῶς αὐτά.* Pol. VIII. 543. A: *τῇ μελλούσῃ ἄκρως οἰκεῖν πόλει.* Tim. 33. B: *τῷ ... τὰ πάντ' ἐν αὐτῷ ζῶα περιέχειν μέλλοντι ζώῳ.* Phaedr. 263. B: *τὸν μέλλοντα τέχνην ῥητορικὴν μετιέναι.* Pol. IV. 427. D: *τὸν μέλλοντα εὐδαίμονα εἶναι.* X. 615. D: *μέλλοντες ἀνιέναι.* Legg. XI. 922. B: *αἱ ... τῶν τελευτᾶν μελλόντων ἐπιθυμίαι.* Pol. IV. 419: *τοῖς μέλλουσι μακαρίοις εἶναι.* Conv. 174. E: *μέλλοντας δειπνεῖν.* Pol. IX. 591. D: *ἐάνπερ μέλλῃ τῇ ἀληθείᾳ μουσικὸς εἶναι.* Alc. I. 110. B: *τί ἔμελλον ποιεῖν —;* Euthyd. *αὐτὸς ... ἔμελλον* (al. *ἤμελλον*) *λέγειν.* Pol. VIII. 544. B: *ὅπερ τότε ἔμελλες λέγειν.* Soph. 266. D: *τὸ δὲ φανταστικὸν ἔμελλεν εἶναι γένος* (vern. *seyn musste*). Prot. 320. D: *ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον* cet. — Cum inf. aor. Critia 108. A: *εἰ μέλλεις αὐτὰ δυνατὸς γενέσθαι παραλαβεῖν.* Gorg. 525. A: *οἷ μέλλει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πάθη.* Pol. VI. 491. A: *εἰ τελέως μέλλει φιλόσοφος γένεσθαι.* Polit. 268. D: *εἰ μὴ μέλλοιμεν (μέλλομεν?) ... καταισχῦναι τὸν λόγον.* Phaedr. 247. D: *ὅσῃ ἂν μέλλῃ τὸ προσῆκον δέξασθαι* (v. *δέξεσθαι*). Eryx. 396. B: *εἰ ... ἐμέλλετε ... μᾶλλον ἐχθρῷ ἀντὶ φίλων ἀπαλλαγῆναι.* Ep. VII. 326. C: *σώφρων δὲ οὐδ' ἂν μελλήσει ποτὲ γενέσθαι.* — Praec. *μέλλει* ponitur ubi nos verb. *sollen* usurpamus, ita ut infin. ex antecedd. intelligi oporteat. Sic *ἀλλὰ τί μέλλει;* (vern. *warum sollte er nicht?* Pol. I. 349. D. Hipp. min. 373. D.) *πῶς γὰρ οὐ μέλλει;* (Gorg. 506. E. Pol. IX. 583. A.) et *τί δ' οὐ μέλλει;* (Theaet. 159. C. Pol. X. 605. C. VIII. 566. D. 568. A: *τί δ' οὐ μέλλουσιν;*) * *cunctor* (proprie vern. *sich bedenken* vel *besinnen*). Legg. IV. 712. B: *ἴωμεν δὴ καὶ μὴ μέλλωμεν ἔτι.* X. 887. C: *μέλλειν ... οὐκέτι ἐγχωρεῖ λέγειν.* Critia 108. E: *μελλητέον οὐδὲν ἔτι.*

μελοποιία, ἡ, cantus compositio. Pol. III. 404. D: *τῇ μελοποιίᾳ.* Conv. 187. D: *ὃ δὴ μελοποιίαν καλοῦσιν.*

μελοποιός, ὁ ἡ, lyricus. Ion. 533. E: *οἱ μελοποιοὶ οἱ ἀγαθοί.* 534. A. Prot. 326. B: *μελοποιῶν.* Ion. 534. A: *τῶν μελοποιῶν ἡ ψυχή.*

μέλος, τό, quod concinit (cum lyra), h. e. *carmen* (praec. lyricum); etiam *cantus* et *modi* (vern. *Melodie*). Pol. III. 398. D: *ὅτι τὸ μέλος ἐκ τριῶν ἐστὶ συγκείμενον, λόγου τε καὶ*

ἁρμονίας καὶ ῥυθμοῦ. Legg. II. 656. C: *ῥυθμοῦ ἢ μέλους ἢ ῥήματος ἐχόμενον.* III. 700. B: *εἰς ἄλλο ... μέλους εἶδος.* Ion. 536. C. Defin. 414. D: *ἄνευ μέλους.* Pol. III. 400. A: *ποδί τε καὶ μέλει.* X. 607. D: *ἐν μέλει ἤ τινι ἄλλῳ μέτρῳ.* Gorg. 532. C: *εἴ τις περιέλοιτο τῆς ποιήσεως πάσης τό τε μέλος καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον.* Phil. 51. D: *τὰς ἕν τι καθαρὸν ἱείσας μέλος.* Legg. II. 654. E: *μέλος καὶ ᾠδὴν* cet. 669. C: *ὥστε ... τὸ σχῆμα γυναικῶν καὶ μέλος ἀποδοῦναι.* XII. 947. C: *τὸ πάτριον μέλος ἐφυμνεῖν.* II. 655. A: *ἐν ... μουσικῇ καὶ σχήματα ... καὶ μέλη ἔνεστι.* B. 670. D. Gorg. 449. D: *περὶ τὴν τῶν μελῶν ποίησιν.* Pol. III. 398. C: *περὶ ᾠδῆς τρόπου καὶ μελῶν.* Legg. II. 670. B. Ion. 534. D: *σχεδόν τι πάντων μελῶν κάλλιστον.* Conv. 187. D: *χρώμενον ὀρθῶς τοῖς πεποιημένοις μέλεσί τε καὶ μέτροις.* Pol. II. 379. A: *ἐάν τέ τις αὐτὸν ἐν ἔπεσι ποιῇ, ἐάν τε ἐν μέλεσιν, ἐάν τε ἐν τραγῳδίᾳ.* 399. C: *ἐν ταῖς ᾠδαῖς τε καὶ μέλεσιν.* X. 607. A: *ἐν μέλεσιν ἢ ἔπεσιν.* Legg. II. 656. A: *ἢ σχήμασιν ἢ μέλεσιν.* VIII. 840. C: *ἐν μέλεσιν ᾄδοντες.* II. 656. D: *καλὰ ... μέλη.* 660. A: *ἐν ἁρμονίαις μέλη ποιοῦντα.* VII. 800. A: *παρὰ τὰ δημόσια μέλη τε καὶ ἱερά.* 812. D: *ἄλλα ... μέλη τῶν χορδῶν ἱεισῶν.* Ion. 534. A. B. De lege 317. D: *τίς ... κρουμάτων ἐπὶ τὰ μέλη ἀγαθὸς νομεύς —;* Hinc *ἐν μέλει*, *concinne, recte* (Soph. 227. D: *ἐν μέλει φθεγξόμεθα.*) et *παρὰ μέλος τι εἰπεῖν* vel *φθέγγεσθαι* (propr. *vocem absonam mittere*, h. e. *falsi quid* vel *absurdi dicere*). Phil. 28. B: *ἵνα μηδὲν ... ἐξαμαρτάνοντες παρὰ μέλος φθεγξώμεθά τι.* Critia 106. B: *παρὰ μέλος ... εἴ τι περὶ αὐτῶν ἄκοντες εἴπομεν.* Legg. III. 696. D: *παρὰ μέλος ... φθέγξασθαι.* — Plur. partes inter se concinentes unumque vivum efficientes, h. e. *membra* (comp. vern. *Lied* et *Glied*). Tim. 76. E: *πάντ' ... τὰ τοῦ θνητοῦ ζώου ... μέρη καὶ μέλη.* Theaet. 209. B: *ἓν ἕκαστον τῶν μελῶν.* Legg. VII. 794. D. 795. E: *τῶν τοῦ σώματος αὐτοῦ μελῶν καὶ μερῶν.* Conv. 190. A: *ὀκτὼ ... οὖσι τοῖς μέλεσιν ἀπερειδόμενοι.* Phaed. 98. D: *κάμπτεσθαι ... τὰ μέλη.* Phil. 14. E: *ἑκάστου τὰ μέλη τε καὶ ἅμα μέρη διελὼν τῷ λόγῳ.* Tim. 70. B. Critia 120. A: *πάντα τοῦ ταύρου τὰ μέλη.* Alc. I. 121. D.

μελῳδία, ἡ, *cantus* vel *carmen* (lyricum). Legg. XI. 935. E: *ποιητῇ ... κωμῳδίας ἢ ἰάμβων ... ἢ ... μελῳδίας.* VII. 790. E: *μελῳδίαν.* 812. D: *τοῦ τὴν μελῳδίαν ξυνθέντος ποιητοῦ.* 798. E: *κατὰ ὀρχήσεις ἢ κατὰ μελῳδίας.*

μελῳδός, *cantor* (lyricus). Legg. IV. 723. D: *τῷ μελῳδῷ.*

μελῳδῶ, *canto.* Legg. II. 655. D: *τὰ ῥηθέντα ἢ μελῳδηθέντα.*

μεμελημένως, *accurate.* Prot. 344. B: *πάνυ γὰρ χαριέντως καὶ μεμελ. ἔχει.*

μεμηνιμένως, iracunde. Ep. III. 319. B: *σὺ ... μάλα ἀπεκρίνω μεμηνιμένως.*

μεμπτός, ή, όν, contemnendus. Theaet. 187. C: *καίτοι οὐκ ἂν εἴη μεμπτὸς μισθὸς ὁ τοιοῦτος.* Legg. IV. 716. B: *ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ.*

μέμφομαι, reprehendo, vitupero, exprobro. Conv. 222. A: *ἃ μέμφομαι.* Crit. 50. D. Gorg. 470. A: *διότι μέμφει τὴν τοιαύτην δύναμιν.* 491. B: *μέμφει μοι.* Crit. 50. D. Prot. 339. D: *ὅς γε ... τοῦτον μέμφεται.* Theag. 126. E: *εἰ ... μέμφοιτο σοὶ τῷ πατρὶ ὅτι* cet. Legg. I. 642. B: *εἴ τι μέμφοιντο.* Conv. 213. E: *μή μοι μέμφηται ὅτι* cet. Gorg. 519. E: *μέμφεσθαι τούτῳ ὅτι* cet. 520. B: *μέμφεσθαι τούτῳ τῷ πράγματι ὃ αὐτοὶ παιδεύουσιν.* Apol. 41. E: *τοῦτο αὐτοῖς ἄξιον μέμφεσθαι.* Euthyd. 305. B: *μεμφόμενος τὴν φιλοσοφίαν.* Prot. 346. C: *ἐκείνους μεμφόμενος.* Pol. II. 377. D: *τί αὐτῶν μεμφόμενος λέγεις;* Id. Legg. III. 685. A. Theag. 123. C: *εἰ ... ἐμέμφου τῷ πατρί.* Ep. VII. 349. D: *ἐμέμφετο Διονυσίῳ.* Phaedr. 234. B: *τοῖς ... μὴ ἐρῶσιν οὐδεὶς πώποτε ... ἐμέμψατο ὡς* cet. Pol. III. 406. A: *οὐκ ἐμέμψαντο τῇ δούσῃ πιεῖν.* VI. 487. A: *οὐδ' ἂν ὁ Μῶμος ... τό γε τοιοῦτον μέμψαιτο.* Conv. 220. E: *τοῦτό γέ μοι οὔτε μέμψει* cet. Pol. VI. 487. A: *ἔστιν οὖν ὅπῃ μέμψει τοιοῦτον ἐπιτήδευμα —;* VII. 536. B: *ἡ ... δίκη ἡμῖν οὐ μέμψεται αὐτή.* Legg. X. 910.

μέμψις, ἡ, reprehensio. Legg. III. 684. D: *οὐκ ἦν τοῖς νομοθέταις ἡ μεγίστη τῶν μέμψεων* cet.

μέν, particula est restringens et affirmans, Lat. *quidem,* vern. *wohl, wenigstens* (saepenumero vero nulla exprimi potest particula). Atque ita ponitur *μέν* etiam non seq. *δέ,* siquidem ea orationis pars in qua *δέ* sequi debebat in particula *μέν* restringendi et excludendi vim habente latet (ut in vern. *ich wohl* tecte latet *wenn auch nicht die anderen* vel tale quid); saepissime vero *μέν* simpliciter affirmat. Prot. 312. C: *ἐγὼ μὲν ... τοῦτον εἶναι τὸν τῶν σοφῶν ἐπιστήμονα.* 343. D. 361. E: *τῶν μὲν τηλικούτων καὶ πάνυ.* Phaedr. 228. B: *ὡς μὲν ἐγὼ οἶμαι.* 242. C: *ὅσον μὲν ἐμαυτῷ μόνον ἱκανός.* Gorg. 460. A: *ἀλλ' ἐγὼ μὲν* (*equidem*) ... *οἶμαι* cet. 465. D: *ὃ μὲν οὖν ἐγώ φημι τὴν ῥητορικὴν εἶναι ἀκήκοας.* E: *ἴσως μὲν οὖν ἄτοπον πεποίηκα* cet. 503. B. Phaed. 58. A: *ναί, ταῦτα μὲν ἡμῖν ἤγγειλέ τις.* Theaet. 171. E: *ἐκεῖνος μὲν ... ξυγχωρεῖ* cet. 201. B: *ἀλλὰ πεῖσαι μέν.* Soph. 221. A: *δοκῶ μὲν ... τοῦτ' αὐτὸ νῦν ἀποτετελέσθαι.* 252. D: *τοῦτο μὲν οἷός τε κἀγὼ διαλύειν.* Crat. 390. B: *εἰκὸς μὲν* cet. Conv. 174. D: *ὡς ἐγὼ μὲν οὐχ ὁμολογήσω ἄκλητος ἥκειν, ἀλλ' ὑπὸ σοῦ κεκλημένος.* Pol. IV. 423. B: *οἶμαι μὲν ... τόνδε.* Apol. 21. D: *ἐλογιζόμην ὅτι τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώτερός εἰμι.* — In orat. interrogativa affirmandi sensum habet. Theaet. 161. E: *τὸ ... ἐπισκοπεῖν ...*

οὐ μακρὰ μὲν καὶ διωλύγιος φλυαρία —; Men. 82. B: Ἕλλην μέν ἐστι καὶ ἑλληνίζει; (ubi vern. est *doch*). Charm. 153. C: παρεγένου μὲν ... τῇ μάχῃ. Ad quod respond. Παρεγενόμην. — Partt. μέν et δέ modo copulant (ut ὁ μὲν ... ὁ δέ, ἐνίοτε μὲν — ἐνίοτε δέ, τοτὲ μὲν — τοτὲ δέ, ἔστι μὲν — ἔστι δέ al., ubi vern. nullas usurpat partt.) modo opponendi vim habent (vern. *wohl* — *aber*, velut Theaet. 171. A: εἰ δὲ αὐτὸς μὲν ᾤετο, τὸ δὲ πλῆθος μὴ συνοίεται. Prot. 338. C. Apol. 21. D: οὗτος μὲν ... ἐγὼ δὲ cet. al. innumer.). Partt. μέν et δέ etiam in una eademque orationis parte nectuntur. Crit. 44. B. Etiam aliae partt. in altera orationis parte sequuntur, velut ἀλλά, ἀτάρ, καὶ — αὖ, μέντοι, μήν al. — Part. μέν saepenumero praemittitur voci quam sequi debebat. Phaedr. 263. B: ἐν μὲν ἄρα τοῖς συμφωνοῦμεν, ἐν δὲ τοῖς οὔ. Theaet. 167. E: (ὅταν τις) ἐν μὲν τῷ παίζῃ ... ἐν δὲ τῷ διαλέγεσθαι σπουδάζῃ. Legg. V. 734. A. Bis ponitur in eodem orationis circuitu. Pol. III. 421. A: εἰ μὲν οὖν ἡμεῖς μὲν φύλακας ὡς ἀληθῶς ποιοῦμεν cet. Apol. 28. E: ὅτε μὲν — τότε μὲν cet. Seq. part. ἄρα. Phaedr. 263. B. Pol. V. 467. D. Cum part. γάρ: μὲν γάρ (Gorg. 523. C: νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται), μὲν γὰρ δή, μὲν γὰρ οὖν, μὲν γάρ που al. Cum part. γε (Conv. 205. D: καὶ λέγεται μέν γέ τις ... λόγος cet. Pol. III. 406. E.), γέ που (Pol. VIII. 559. B: ἡ μέν γέ που τοῦ σίτου κατ' ἀμφότερα ἀναγκαία. Legg. X. 896. E.) Cum part. δή (Phaedr. 258. E: σχολὴ μὲν δή. Gorg. 470. B: τοῦτο μὲν δὴ ... ὁμολογεῖται.), ἀλλὰ μὲν δὴ — γε (Phaed. 75. A.), καὶ μὲν δή, *sane quidem*, *vero* (Polit. 287. D. Crat. 396. D.); acced. part. γέ (Gorg. 466. B. 507. B. Theaet. 155. E. Conv. 197. A. Pol. VII. 526. B.), οὐ μὲν δή, *neque tamen* (Theaet. 148. E.) et acced. γέ (Phaedr. 259. B. Theaet. 187. A. Phil. 46. B.). Partt. μὲν οὖν affirmandi vim habent. Phaed. 61. D: ἃ μὲν οὖν τυγχάνω ἀκηκοώς, φθόνος οὐδεὶς λέγειν. Pol. X. 604. D: φήσομεν μὲν οὖν. Similiter in dictionn. μάλιστα μὲν οὖν, πάνυ μὲν οὖν al. In resp. corrigit id quod alter dixit, Lat. *imo* (vern. *nein, vielmehr*). Gorg. 466. A: κολακείας μὲν οὖν ἔγωγε εἶπον μόριον. E: ἐγὼ οὔ φημι; φημὶ μὲν οὖν ἔγωγε. 470. B: σὺ μὲν οὖν ... (*du vielmehr*) ἀπόκριναι ταὐτὸ τοῦτο. Conv. 201. C. Crit. 44. B: ὡς ἄτοπον τὸ ἐνύπνιον, ὦ Σώκρατες. ΣΩ. ἐναργὲς μὲν οὖν cet.

μένος, τό, *vis*. Tim. 70. B: τὸ τοῦ θυμοῦ μένος (sic Par. A. pro vulg. γένος). Locc. Homerr. (Crat. 415. A. Conv. 179. B. et Pol. III. 389. E.) est *animus*.

μέντοι affirmandi vel asseverandi vim habet eamque modo fortiorem (vern. *wohl, allerdings, in der That*, ut in resp.) modo leniorem (quam non particula, sed ipso orationis sono exprimimus), praec. in resp. Phaed. 65. D: φάμεν μέντοι

